ἡ δὲ παλλακὴ τοῦ Φιλόνεω τὴν σπονδὴν ἅμα [1] ἐκχέουσα ἐκείνοις εὐχομένοις ἃ οὐκ ἔμελλε τελεῖσθαι, ὦ ἄνδρες, ἐνέχει τὸ φάρμακον. καὶ ἅμα οἰομένη δεξιὸν ποιεῖν πλέον δίδωσι τῷ Φιλόνεῳ — ἴσως, εἰ δοίη πλέον, μᾶλλον φιλησομένη ὑπὸ τοῦ Φιλόνεω· οὔπω γὰρ ᾔδει ὑπὸ τῆς μητρυιᾶς τῆς ἐμῆς ἐξαπατωμένη, πρὶν ἐν τῷ κακῷ ἤδη ἦν —· τῷ δὲ πατρὶ τῷ ἡμετέρῳ ἔλασσον ἐνέχει. καὶ ἐκεῖνοι ἐπειδὴ ἀπέσπεισαν, τὸν ἑαυτῶν φονέα μεταχειριζόμενοι ἐκπίνουσιν 615 ὑστάτην πόσιν. ὁ μὲν οὖν Φιλόνεως εὐθέως παραχρῆμα ἀποθνήσκει· ὁ δὲ πατὴρ ὁ ἡμέτερος εἰς νόσον ἐμπίπτει, ἐξ ἧς καὶ ἀπώλετο εἰκοσταῖος. ἀνθ᾽ ὧν ἡ [2] μὲν διακονήσασα ἔχει τὰ ἐπίχειρα ὧν ἀξία ἦν, οὐδὲν αἰτία οὖσα — τῷ γὰρ δημοκοίνῳ τροχισθεῖσα παρεδόθη —, ἡ δ᾽ [3] αἰτία τε ἤδη, καὶ ἐνθυμηθεῖσα καὶ χειρουργήσασα ἕξει, ἐὰν ὑμεῖς τε καὶ οἱ θεοὶ θέλωσι.

δ΄. Σκέψασθε οὖν ὅσῳ δικαιότερα δεήσομαι ὑμῶν ἐγώ, ἢ ὁ ἀδελφός. ἐγὼ μὲν τῷ τεθνεῶτι ὑμᾶς κελεύω καὶ τῷ ἠδικημένῳ τὸν αἴδιον χρόνον τιμωροὺς γενέσθαι. οὗτος δὲ τοῦ μὲν τεθνεῶτος πέρι οὐδὲν ὑμᾶς αἰτήσεται, ὃς ἄξιος καὶ ἐλέου καὶ βοηθείας καὶ τιμωρίας παρ᾽ ὑμῶν τυχεῖν, ἀθέως 616
καὶ ἀκλεῶς πρὸ τῆς εἱμαρμένης ὑφ᾽ ὧν ἥκιστ᾽ ἐχρῆν τὸν

[1] ἐγχέουσα [2] Deest μέν. [3] αἰτία * γ΄, ἡ δὴ καὶ

Παλλακὴ τοῦ] Alius ἡ interposuisset. verum in Antiphonte nescio an minus tutum sit idem præcipere fieri. Idem.

Ἐκχέουσα] Imo vero ἐγχέουσα. libantes enim vinum effundebant quidem, pueri autem ministrantes, et qui eorum loco essent, ut pellex hic loci erat, infundebant in pocula, aqua a se contemperatum. vulgatam defendere qui velit, illi sic erit interpretandum. ἐκχέουσα ἐκ τοῦ κρατῆρος εἰς τὴν κύλικα. Idem.

Ἐνέχει] Vel ἐγχέει *infundit simul*. hoc in magna familia munus pocillatorum. v. Acta societ. Lat. T. II. p. 127—183. Hauptm.

Μεταχειριζόμενοι] Amplexantes alternis, modo hic, modo ille, ulnis, et osculantes. nesciebant nempe hanc ipsam pellicem, cum qua lasciviebant, venenum ipsis infudisse. Pro τὸν malim τήν. Reisk.

Οὐδ᾽ ἐναντία] Π. οὐδὲν αἰτία. H. Stephan. Poterat quoque sic corrigi οὐδ᾽ ἐν αἰτίᾳ οὖσα. *quamquam in culpa non fuisset*. Reisk.

Ἡ δ᾽ αἰτία γ΄, ἡ δὴ καὶ] Sic dedi de meo, pro vulgari ἡ δ᾽ αἰτία τε ἤδη, καί. fœmina vero illa, quæ in culpa et causa fuit, quippe quæ et excogitarit scelus, eique perpetrando manum operamque præstiterit. Idem.

δ΄. Τὸν ἀΐδιον χρόνον] Cohæret cum ἠδικημένῳ. injuriam in perpetuum accipit is, qui eam accipit, quæ nullo pacto postmodum reparari possit, cujus generis injuria est cædes. nam interfectus ad vitam revocari nequit. Idem.

Ἀκλεῶς] Cadit ille inglorius, qui ab inimico tollitur imbelli, ignavo, ignobili, non aperta vi, sed ex occulto per insidiarum veluti cuniculos opprimente, fraude tam repentina et tam callida et cæca, ut tu neque pestem depellere, neque hostem ulcisci possis; præsertim si ab ea manu cadas, unde par erat te non solum mali nihil metuere, sed vel maxime fidem atque præsidium exspectare, ab aliis impetitum. Idem.

Περὶ τῆς εἱμαρμ.] Merito παρὰ legit Gesnerus. Hauptm.

Περὶ τῆς εἱμαρμ.] Π. πρὸ τῆς εἱμαρμένης. H. Stephan. Nullus etiam dubito

βίον ἐκλιπών· ὑπὲρ δὲ τῆς ἀποκτεινάσης δεήσεται [1] ἀθέ-
μιτα καὶ ἀτέλεστα καὶ ἀνήκουστα καὶ θεοῖς καὶ ὑμῖν,
δεόμενος ὑμῶν ἃ αὐτὴ ἑαυτὴν οὐκ ἔπεισε μὴ κακοτεχνῆ-
σαι. ὑμεῖς δ᾽ οὐ τῶν ἀποκτεινάντων ἐστὲ βοηθοὶ, ἀλλὰ
τῶν ἐκ προνοίας ἀποθνησκόντων, καὶ ταῦτα ὑφ᾽ ὧν ἥκιστα
ἐχρῆν αὐτοὺς ἀποθνήσκειν. ἤδη οὖν ἐν ὑμῖν τουτό ἐστιν
617 ὀρθῶς διαγνῶναι, ὃ καὶ ἐποιήσατε. δεήσεται δ᾽ ὑμῶν οὗτος
μὲν ὑπὲρ τῆς μητρὸς [2] τῆς αὑτοῦ ζώσης, τῆς ἐκεῖνον δια-
χρησαμένης ἀβούλως τε καὶ ἀθέως, ὅπως δίκην μὴ δῷ, ἂν 114. 1
ὑμᾶς πείθῃ, ὧν ἠδίκηκεν· ἐγὼ δ᾽ ὑμᾶς ὑπὲρ τοῦ πατρός μου
τεθνεῶτος αἰτοῦμαι, ὅπως παντὶ τρόπῳ δῷ· ὑμεῖς δὲ, ὅπως
διδῶσι δίκην οἱ ἀδικοῦντες, τούτου γε ἕνεκα καὶ δικασταὶ

[1] ἀθέμιστα [2] Deest τῆς.

Scaligerum quoque πρὸ dedisse, tametsi schedæ Goensianæ ei παρὰ tribuunt. Reisk.

Δεόμενος ὑμῶν] Gesnerus addit : subaudi vel adscribe πείθεσθαι. Nos quidem dubitamus ὑμῶν ita subsistere posse. Malumus itaque ad κακοτεχνῆσαι referre, licet hoc verbum duplici sententia recipiatur, tum astutam et male artificiosam excusationem, et hinc absolutionem, tum callide conceptum parricidium, quod ipsa neutiquam evitare laboravit mentibus insinuans. Fit tamen id salvo meliore judicio, quoniam imprimis locus ille vexatus Œdipum quærit, nec nostra nobis plane satisfacit conjectura. Hauptm.

Ἃ αὐτὴ — μὴ κακοτεχνῆσαι] Locus perquam arduus, unde sententia vix tolerabilis et vix exputabilis exsistit. Adversarius meus (hæc est actoris oratio) vos judices rogabit ut nolitis κακοτεχνεῖν, malis artibus, nequitia uti, in ea fœmina condemnanda, quæ ipsa in animum inducere sibi non potuit, ut a nequitia se abstineret. Ergo filius pro matre deprecans severitatem animadversionis in veneficam appellabat κακοτεχνίαν? Filius nempe matrem defendens, aiebat eam insontem esse; et condemnationem ejus habebat pro conspiratione judicum, actoris iniquæ causæ faventium, suam vero, æquissimam scilicet, prementium. Aut hæc est exponendi et excusandi hujus loci una ratio, aut, si quid video, alia nulla. Reperiat, qui poterit, meliorem. [Defectus unius parvi vocabuli πείθεσθαι diu mihi tenebras objecerat impenetrabiles, donec inciderem in locum huic similem Nostri, p. 792. 2. ed. R. ἅπερ αὐτοὶ σφᾶς αὐτοὺς οὐκ ἔπεισαν, quæ ipsi sibi non credunt, vel in animum non inducunt, ut vera habeant, ταῦτα ὑμᾶς ἀξιοῦσι πεῖσαι, hæc ut vos vera credatis, contendunt vobis persuadere. Est ergo loci hujus nostri hæc vera lectio δεόμενος ὑμῶν πείθεσθαι, ἃ αὐτὴ ἑαυτὴν οὐκ ἔπεισε, μὴ κακοτεχνῆσαι. rogans vos, ut velitis [aut sibi, aut matri suæ] credere, aienti verum esse, quamquam ne ipsa quidem credit, scil. in hac re nulla mala fraude eam esse usam. Et video nunc Gesnerum quoque prorsus eodem modo locum hunc emendasse, quamquam omittenda Latina interpretatione dubium reliquit, quomodo locum putaret accipiendum et reddendum esse. Possunt verba ἃ αὐτὴ ἑαυτὴν οὐκ ἔπεισεν etiam sic accipi, quam rem, scil. τὸ μὴ κακοτεχνῆσαι, abstinentiam a mala fraude, ipsa non potuit sibi imperare, et a se impetrare. *Access. ad sua Antiph.*] Reisk.

Ὃ καὶ ποιήσετε] Gesnerus ὅ τι ποιήσετε *quid facturi sitis.* vel *quid faciendum vobis putetis.* verumtamen respici potest ad antecedentem pellicis condemnationem. Hauptm.

Ἐποιήσατε] Num ποιήσετε. id quod vos etiam facietis. Aut bene si vulgata habet, non satis intelligo. Num respicit ad supplicium pellici irrogatum? Reisk.

Εὐβούλως] Lege pro ἀβούλως. nisi α fit ἀθροιστικὸν et αὐξητικόν. Certe non imprudentiæ mulier istæc accusatur oratione tota, sed impietatis et consideratæ malitiæ. quoties autem ευ et α confundantur, Montefalconius docuit. Retinens ἀβούλως editio Hanoviensis vertit *temere et impie.* Hauptm.

Δίκην μὴ δῷ] Δοῦναι δίκην, *puniri.* Lycurgus 21. 5. Idem.

Δῷ] Scil. noverca mea Manibus patris mei. Reisk.

ἐγένεσθε καὶ ἐκλήθητε. καὶ ἐγὼ μὲν ἐπεξέρχομαι λέγων, ἵνα δῷ δίκην ὧν ἠδίκηκε καὶ τιμωρήσω τῷ τε πατρὶ τῷ ἡμετέρῳ καὶ τοῖς νόμοις τοῖς ὑμετέροις· ταύτῃ καὶ ἄξιόν μοι βοηθῆσαι ὑμᾶς ἅπαντας, εἰ ἀληθῆ λέγω· οὗτος δὲ τἀναντία, ὅπως ἡ τοὺς νόμους παριδοῦσα μὴ δῷ δίκην ὧν ἠδίκηκε, ταύτῃ βοηθὸς καθέστηκε. καίτοι πότερον δικαιότερον τὸν ἐκ προνοίας ἀποκτείναντα δοῦναι δίκην, ἢ μή; καὶ πότερον δικαιότερον οἰκτεῖραι μᾶλλον τὸν τεθνεῶτα, ἢ τὴν ἀποκτείνασαν; ἐγὼ μὲν οἶμαι τὸν τεθνεῶτα. καὶ γὰρ 618
δικαιότερον καὶ ὁσιώτερον καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων [1] γίνοιτο ὑμῖν. ἤδη οὖν ἐγὼ ἀξιῶ, ὥσπερ κἀκεῖνον ἀνελεημόνως καὶ ἀνοικτίστως αὕτη ἀπώλεσεν, οὕτω καὶ αὐτὴν ταύτην ἀπολέσθαι ὑπό τε ὑμῶν καὶ τοῦ δικαίου. ἡ μὲν γὰρ ἑκουσίως καὶ βουλεύσασα τὸν θάνατον, ὁ δ' ἀκουσίως καὶ βιαίως ἀπέθανε. πῶς γὰρ οὐ βιαίως ἀπέθανεν, ὦ ἄνδρες, ὅς [2] γ' ἐκπλεῖν ἔμελλεν ἐκ τῆς γῆς τῆσδε, παρά τε ἀνδρὶ αὑτοῦ φίλῳ [3] εἱστιᾶτο; ἡ δὲ, πέμψασα τὸ φάρμακον καὶ κελεύσασα ἐκείνῳ δοῦναι πιεῖν, ἀπέκτεινεν ἡμῶν τὸν πατέρα. πῶς οὖν ταύτην ἐλεεῖν ἄξιόν ἐστιν, ἢ αἰδοῦς τυγχάνειν παρ' ὑμῶν, ἢ ἄλλου του; ἥτις αὐτὴ οὐκ ἠξίωσεν ἐλεῆσαι τὸν αὑτῆς ἄνδρα, ἀλλ' ἀνοσίως καὶ αἰσχρῶς ἀπώλεσεν. οὕτω δέ τοι καὶ ἐλεεῖν ἐπὶ τοῖς ἀκουσίοις παθήμασι μᾶλλον προσήκει ἢ τοῖς ἑκουσίοις καὶ ἐκ προνοίας ἀδικήμασι καὶ ἁμαρτήμασι. καὶ ὥσπερ ἐκεῖνον [4] αὐτὴ, οὔτε θεοὺς 619

[1] γένοιτο [2] γε πλεῖν [3] ἑστιᾶτο [4] αὕτη

Ἡμετέροις] Hanoviensis et Bayerus malunt ὑμετέροις. [Jamdudum id Stephanus dederat, unde Hanoviensis editor reddidit. *Reisk.*] Andocides 1, 156. HAUPTM.

Ταύτῃ] Scil. ἐν αἰτίᾳ. IDEM.

Ταύτῃ καὶ] Videtur γὰρ interponendum esse. *etenim hactenus quoque*, hac de causa, quoniam leges a vobis vindicari et salvas servari convenit. REISK.

Οὗτος ὁ τἀναντία] Π. οὑτοσὶ τἀναντία, ἢ, οὗτος δὲ τἀνταντία. H. STEPHAN. οὗτος δὲ τἀναντία dedi de Stephani et Scaligeri sententia, pro vulgari οὗτος ὁ τἀναντία. subaudi ἀξιῶν. aut accipe adverbialiter. REISK.

Πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων] Aut, si nihil h. l. deest, genitivi hi cum accusativis mutandi sunt, aut deest aliquid. c. c. εὔνοια, καὶ ἀγαθὰ πολλά. a diis ab hominibusque pax et benevolentia et bona multa vobis contingant. IDEM.

Ἑκουσίως] Aut post ἑκουσίως, aut post τὸν θάνατον deest ἀπώλεσε, vel ἀπέκτεινε, vel ἐμηχανήσατο. IDEM.

Θάνατον] Scil. ἀπέκτεινε. GESNER.

Ἑστιᾶτο] Malim cum augmento εἱστιᾶτο. REISK.

Αἰδοῦς τυγχάνειν] *Misericordiam consequi*, Atticis. v. Casaub. ad Sueton. Caligul. c. 29. HAUPTM.

Οὕτω δέ τοι καὶ ἐλεεῖν] Scabra et hiulca oratio. non succurrit nunc melius visum, quam fort. leg. esse: οὐκ οἶδεν ὅτι συγγνώμην ἔχειν καὶ ἐλεεῖν, *non norat* (mirabundus interrogat et stomachans) *non norat illa, convenire, ut —?* Vel οὐχὶ δὲ καὶ —? REISK.

οὔθ᾽ ἥρωας οὔτ᾽ ἀνθρώπους δείσασα, ἀπώλεσεν, [1] οὕτω καὶ αὐτὴ ὑφ᾽ ὑμῶν καὶ τοῦ δικαίου ἀπολομένη, καὶ μὴ τυχοῦσα μήτ᾽ αἰδοῦς μήτ᾽ ἐλέου μήτ᾽ αἰσχύνης μηδεμιᾶς παρ᾽ ὑμῶν, τῆς δικαιοτάτης ἂν τύχοι τιμωρίας.

έ. Θαυμάζω δὲ ἔγωγε τῆς τόλμης τοῦ ἀδελφοῦ καὶ τῆς διανοίας τὸ διομόσασθαι ὑπὲρ τῆς μητρὸς εὖ εἰδέναι μὴ πεποιηκέναι ταῦτα. πῶς γὰρ ἄν τις εὖ εἰδείη, οἷς μὴ παρεγένετο αὐτός; οὐ γὰρ δήπου μαρτύρων γ᾽ ἐναντίον οἱ ἐπιβουλεύοντες τοὺς θανάτους τοῖς πέλας μηχανῶνταί τε καὶ παρασκευάζουσιν, ἀλλ᾽ ὡς μάλιστα δύνανται λαθραιότατα καὶ ὡς ἀνθρώπων μηδένα εἰδέναι· οἱ δ᾽ ἐπιβουλευόμενοι οὐδὲν ἴσασι πρὶν ἐν αὐτῷ ὦσι τῷ κακῷ γ᾽ ἤδη, καὶ γινώσκωσι τὸν ὄλεθρον ἐν ᾧ εἰσί. τότε δὲ, ἐὰν μὲν δύνωνται
620 [2] καὶ φθάνωσι πρὶν ἀποθανεῖν, καὶ φίλους καὶ ἀναγκαίους τοὺς σφετέρους καλοῦσι καὶ μαρτύρονται, καὶ λέγουσιν αὐτοῖς ὑφ᾽ ὧν ἀπόλλυνται, καὶ ἐπισκήπτουσι τιμωρῆσαι σφίσιν αὐτοῖς ἠδικημένοις· ἃ κἀμοὶ παιδὶ ὄντι ὁ πατὴρ, τὴν ἀθλίαν καὶ τελευταίαν νόσον νοσῶν, ἐπέσκηπτεν· ἐὰν δὲ τούτων ἁμαρτάνωσι, γράμματα γράφουσι, καὶ οἰκέτας τοὺς σφετέρους αὐτῶν ἐπικαλοῦνται μάρτυρας, καὶ δηλοῦσιν ὑφ᾽ ὧν ἀπόλωνται. κἀκεῖνος ἐμοὶ νέῳ ἔτι ὄντι ταῦτα ἐδήλωσε καὶ ἐπέστειλεν, ὦ ἄνδρες, οὐ τοῖς ἑαυτοῦ δούλοις.

ζ΄. Ἐμοὶ μὲν οὖν διήγηται καὶ βεβοήθηται τῷ τεθνεῶτι καὶ τῷ νόμῳ· ἐν ὑμῖν δ᾽ ἐστὶ σκοπεῖν τὰ λοιπὰ πρὸς ὑμᾶς

[1] οὕτω καὐτὴ

[2] καὶ μὴ φθάνωσι

Τύχοι τιμωρίας] Similis generis meditationes et exempla passim invenimus in sacris. v. Josuæ VII. 25. Judic. I. 7. HAUPTM.

έ. Τοῦ ἀδελφοῦ] Si τὸ proximum insequens servatur, bene babebit h. l. genitivus. ego vero nullus dubitans, τὸ vitiosum esse, de quo statim seorsim dicam, suspicor h. l. genitivo accusativum sufficiendum, atque leg. esse τὸν ἀδελφόν. REISK.

Τῆς διανοίας] Si solum staret per se, nil eo offenderer; verum copulatum videns cum τόλμης, eique subjectum, cui non optime convenit, suspicor leg. esse τῆς ἀνοίας. IDEM.

Τὸ διομόσασθαι] Imo vero τῷ διομ. id est ἐπὶ τῷ, διὰ τὸ — Aut τολμῶντος [vel τολμῶντα] διομ. IDEM.

Φθάνωσι πρὶν ἀποθανεῖν] Omisso πρὶν legerim φθάνωσιν ἀποθανεῖν. *nisi morte præveniatur.* videtur autem hic scriptor mihi eam amare brevitatem, ut, quæ propter dicat, ad ea jam respiciat. GESNER.

Καὶ φίλους] Particula copulans videtur prodere, hic aliquid deesse, e. e. υἱοὺς filios, vel ἀδελφοὺς fratres, et amicos. REISK.

ζ΄. Ἐμοὶ μὲν] Expositum igitur a me fuit negotium et auxilium præstitum, cum mortuo, tum legi. temere Miniatus: *me igitur dirigit et mortuo opem ferre et legibus.* HAUPTM.

αὐτοὺς καὶ δικάζειν τὰ δίκαια. οἶμαι δὲ καὶ τοῖς θεοῖς τοῖς κάτω μέλειν οἱ ἠδίκηνται.

Μέλλειν] Habet Aldus. emenda μέλειν eo confidentius, dum et Gesnerum mecum sentire video. Præfert Hanoviensis μέλλειν, sed interpretatio *curæ fore.* Idem.

Μέλειν, οἶ ἠδίκηνται] Ad μέλειν subauditur τούτων, sive id pro masculino, sive pro neutro accipiatur. Si prius, tum οἶ redibit ad homines. horum hominum, qui læsi fuerint injuria, curam gerere. Sin autem pro neutro τούτων habeas, tum erit sententia, harum rerum, cædium puta dolosarum et clandestinarum. οἶ potest ad homines, sed et ad deos referri. posterius si mavis, οἶ erit reddendum, *quippe qui.* lædebatur utique, ex opinione gentilium, numen deorum inferorum, quibus exosum erat genus omne mortium violentarum, ante fatalem horam alicui comparatarum, earumque ipsi ultores habebantur; et templa eorum, quorum templorum sanctissimum et amplissimum ipsa tellus est, cruore pollui existimabantur. Quodsi tamen ἠδίκηνται non ad homines, sed ad deos refers, pro οἶ malim εἰ legi. deos arbitror non inultum transmittere, si violentia ipsi læsi fuerint. Reisk.

ΑΝΤΙΦΩΝΤΟΣ

ΤΕΤΡΑΛΟΓΙΑ Α.

α. ΚΑΤΗΓΟΡΙΑ ΦΟΝΟΥ ΑΠΑΡΑΣΗΜΟΣ.
β. ΑΠΟΛΟΓΙΑ ΕΙΣ ΤΟ ΑΥΤΟ ΠΡΑΓΜΑ.
γ. ΕΚΚΑΤΗΓΟΡΙΑΣ Ο ΥΣΤΕΡΟΣ.
δ. ΕΞΑΠΟΛΟΓΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

α. ΚΑΤΗΓΟΡΙΑ ΦΟΝΟΥ ΑΠΑΡΑΣΗΜΟΣ.

ΥΠΟΘΕΣΙΣ.

621 ΠΑΝΤΑΧΟΥ *μὲν τὴν οἰκείαν Ἀντιφῶν ἐνδείκνυται δύναμιν, μάλιστα δ' ἐν ταύταις ταῖς τετραλογίαις, ἐν αἷς αὐτὸς πρὸς αὑτὸν ἀγωνίζεται. δύο γὰρ ὑπὲρ τοῦ κατηγόρου λόγους εἰπὼν, δύο καὶ ὑπὲρ τοῦ* [1] *φεύγοντος ἐμελέτησεν, ὁμοίως ἐν ἀμφοτέροις εὐδοκιμῶν. ἔοικε μὲν οὖν οὗτος ὁ λόγος τῷ Λυσίου λόγῳ τῷ πρὸς Μικίνην γεγραμμένῳ· ἔχει δ' αὐτῷ τὰ τῆς ὑποθέσεως ὧδε. ἀναχωρῶν τις ἀπὸ δείπνου εὑρέθη σὺν τῷ ἀκολούθῳ συγκεκομμένος. μετὰ τὴν αὐτοῦ τελευτὴν συγγενής τις αὐτοῦ κατηγορεῖ ἐχθροῦ αὐτοῦ, ὡς πεποιηκότος τὸν φόνον· ὁ δ' ἀρνεῖται. ὅθεν στοχασμὸς ἡ στάσις ἀτελὴς, ἐκ μόνου τοῦ προσώπου συνιστάμενος. Ἡ δὲ τοῦ λόγου διαίρεσις*
622 *αὕτη. ἐν μὲν τοῖς προοιμίοις* [2] *κατάστασιν ὁ λόγος* [3] *οὐκ ἔχει, διὰ τὸ μήπω τὴν ὅλην ἠκριβῶσθαι τέχνην· ἀρχόμενος δὲ τῶν ἀγώνων, πρώτῃ ἐχρήσατο ἀναιρέσει αἰτιῶν, δι' ὧν ἀπέδειξεν ὅτι οὐδεὶς* [4] *αὐτὸν τῶν ὀφειλόντων ὑπονοηθῆναι διέφθειρεν. εἶτα περιίστησι τὸ πρᾶγμα εἰς τὸ δεῖξαι ὅτι ἐξ ἐπιβουλῆς ἀπέθανε, καὶ λοιπὸν ἐμβάλλει εἰς τὴν* [5] *βούλησιν· τὴν δὲ τῶν ἐλέγχων ἀπαίτησιν λύει τῇ μαρτυρίᾳ τοῦ δούλου. εἶτα παρέκβασις καὶ ἐπίλογος.*

ΟΠΟΣΑ *μὲν τῶν πραγμάτων ὑπὸ τῶν ἐπιτυχόντων* 115. 1
ἐπιβουλεύεται, οὐ χαλεπὰ ἐλέγχεσθαι ἐστίν· ἂν δ' [6] *οἱ ἱκανῶς μὲν πεφυκότες, ἔμπειροι δὲ τῶν πραγμάτων ὄντες, ἐν δὲ τούτῳ τῆς ἡλικίας καθεστῶτες ἐν ᾧ κράτιστοι φρονεῖν αὑτῶν* [7] *εἰσὶ, πράττωσι, χαλεποὶ καὶ διαγνωσθῆναι καὶ δειχθῆναι εἰσί. διὰ γὰρ τὸ μέγεθος τοῦ κινδύνου, ἐκ πολλοῦ τὴν ἀσφάλειαν ὧν ἐπιβουλεύουσι σκοποῦντες, οὐ πρότερον ἐπιχειροῦσιν ἢ πάσης ὑποψίας φυλακὴν ποιήσωνται. γινώ-*

[1] *λέγοντος* [2] *τὴν κατάστ.* [3] Deest *οὐκ.* [4] *αὐτῶν* [5] *ποίησιν*
[6] Deest *οἱ.* [7] *εἰς τὰ πράγματ' ὦσι, χ. κ. γνωσθῆναι*

ΥΠΟΘΕΣΙΣ] V. Taylor. ad fragmenta Lysiæ p. 24. *ἀπαράσημος* est oratio, in qua personæ nullæ nominatim appellatæ, seu, ex nominum notis ab aliis distinctæ, fuerint. Reisk.

Ἂν δ' ἱκανῶς] Π. οἱ δ' ἱκανῶς. H. Stephan. Non habet ἂν quo referatur. proculdubio deest *ἐπιβουλεύωσιν οἱ* — sin autem cædes ex insidiis machinentur hi, qui, nati loco nobiliore, liberalius educati, aut indole et sagacitate non contemnenda a natura præditi fuerint. H. Stephani conjectura rem implicat magis, quam expedit. Reisk.

σκοντας οὖν ὑμᾶς χρὴ ταῦτα, κἂν ὁτιοῦν εἰκὸς παραλά- 623
βητε, σφόδρα πιστεύειν αὐτῷ. ἡμεῖς δ', οἱ ἐπεξερχόμενοι
τὸν φόνον, οὐ τὸν αἴτιον ἀφέντες τὸν ἀναίτιον διώκομεν·
σαφῶς γὰρ οἴδαμεν, ὅτι πάσης τῆς πόλεως μιαινομένης
ὑπ' αὐτοῦ, ἕως ἂν διωχθῇ, τό τ' ἀσέβημα ἡμέτερον γίνε-
ται, τῆς θ' ὑμετέρας ἁμαρτίας ἡ ποινὴ εἰς ἡμᾶς τοὺς μὴ
δικαίως διώκοντας ἀναχωρεῖ. ἅπαντος [1] δὲ τοῦ μιάσματος
ἀναχωροῦντος εἰς ἡμᾶς, ὡς ἂν δυνώμεθα σαφέστατα, ἐξ 624
ὧν γινώσκομεν, πειρασόμεθα ὑμῖν δηλοῦν ὡς ἀπέκτεινε τὸν
ἄνδρα. Οὔτε γὰρ κακούργους εἰκὸς ἀποκτεῖναι τὸν ἄνθρωπον·
ἔχοντες γὰρ ἂν τὰ ἱμάτια εὑρέθησαν· [2] οὐδεὶς γὰρ ἂν τὸν

[1] δὲ] οὖν [2] οὐδεὶς - - - ἀφῆκεν. οὔτε - - - εὑρέθησαν.

Χρὴ ταῦτα] Levi transpositione facta sententia clarior fieri potest. *γινώσκοντας οὖν ὑμᾶς ταῦτα, χρὴ* etc. GESNER. Nos opinamur posse pariter participium infiniti locum occupare, vel *εἶναι* mente jungi. HAUPTM.

Διώκομεν] Suidas v. *καταλαβεῖν* laudat *τὸν ἀναίτιον καταλαβόντας τὸν αἴτιον ἀφεῖναι.* IDEM.

Ὑπ' αὐτοῦ] Scil. *τοῦ φονέως*, vel *τοῦ αἰτίου.* REISK.

Ἀσέβημα] Si scil. indicare et in jure persequi omittamus eum reum, quem certo sciamus scelus commisisse. Pro *διωχθῇ* num leg. est *δειχθῇ*? IDEM.

Ὑμετέρας ἁμαρτίας] Si nempe vos, a nobis indicio falso decepti, pro sonte insontem morte puniveritis. Ponit casum geminum. Aut vere reum non indicamus, aut insontem pro sonte. Prius facientes in causa sumus, ut vere reus impunitus abeat. Posterius facientes, inducimus judices in errorem. Utrum ergo facimus horum, semper necessario reatum ipsi nobis contrahimus. Nam si reticemus homicidæ, quem norimus, et soli norimus, nomen, piaculum penes nos solos manet. Sin autem falsum indicamus, culpa erroris in condemnando et plectendo insonte commissi, non tangit judices, quos fraude nostra ad male judicandum perduxerimus; (ex iis enim, quæ docebantur, illi recte judicarant; quod decepti fuerint, culpa eorum non fuit,) relabitur ergo culpa etiam hæc a judicibus ad nos. Quum itaque neque tacere, neque falsum reum indicare nobis expediat, necesse est, ut quem cædis voluntarie patratæ accusamus, eum certo norimus illam cædem perpetrasse. IDEM.

Ἅπαντος τοῦ] Scil. *οὖν*. Bayerus hic solum incisum posuerat, junctis post *σαφέστατα* * * [id est duobus asteriscis. *Reisk.*]. Gesnerus potius interpungit, et legit *ἅπαντος οὖν μιάσματος ἀναχωροῦντος εἰς ὑμᾶς, ἕως ἂν δυνώμεθα σαφέστατα ἐξ ὧν, cum igitur omne piaculum in nos redundet, quam* (quousque) *poterimus planissime ex iis, quæ cognovimus, demonstrare vobis studebimus* —Sic et præ *ἕως*, *ὡς* et præ *δυνώμεθα*, *δυνάμεθα* præfert. HAUPTM.

Ἅπαντος τοῦ] Interpone *οὖν*. Relabente igitur in nos solos omni reatu et piaculo, tam illo, quod totam civitatem premit, quæ cædem inultam transmittat, tametsi nulla fraude id faciat, sed solum modo ex ignorantia homicidæ; quam altero illo, quod contrahitur insontem plectendo. REISK.

Ἡμᾶς ἕως —] *Πότερον, ἡμᾶς, ὡς ἂν δυνώμεθα σαφ., ἢ, ἅπαντος οὖν τ. μ. ἀν. εἰς ἡμᾶς ὡς ἀν. δ. σ.* H. STEPHAN.

Ὡς] *Qua causa*, sive *ratione*, vel *τίς*. HAUPTM.

Ἀπέκτεινε] Reus non nominatus. REISK.

Τὸν ἄνδρα] Id est peremtum pariter non nominatum. IDEM.

Οὔτε γὰρ —] Nam nemo alius potuit scelus patrasse, quam hic. 1) non latro. 2) non temulentus aliquis. 3) non concitatus in eum e jurgio et convicio repentino. 4) non jaculator a meta aberrans. Sed hæ solæ sunt suspiciones, quæ de auctore cædis exsistere queant, si hic quem aio fuisse, homicida non fuerit. Verum nulli illarum omnium suspicionum hac in causa locus est; propter causas sigillatim perstrictas. Ergo nihil reliquum manet, quam ut hic reus, quem indico, scelus peregerit. IDEM.

Εὑρέθησαν] *Reperti forent* homicidæ,

ἔσχατον κίνδυνον περὶ τῆς ψυχῆς κινδυνεύων ἑτοίμην καὶ
κατειργασμένην τὴν ὠφέλειαν ἀφῆκεν. οὐ μὴν οὐδὲ παροινήσας
οὐδεὶς διέφθειρεν αὐτόν· ἐγινώσκετο γὰρ ἂν ὑπὸ τῶν συμ-
626 ποτῶν. οὐδὲ μὴν οὐδ᾽ ἐκ λοιδορίας· οὐ γὰρ ἀωρὶ τῶν νυκτῶν,
οὐδ᾽ ἐν ἐρημίᾳ ἐλοιδοροῦντο. οὐδὲ μὴν ἄλλου στοχαζόμενος
ἔτυχε τούτου· οὐ γὰρ ἂν σὺν τῷ ἀκολούθῳ διέφθειρεν αὐτόν.

malefici seu latrones spoliato cadavere, si vel fuga sibi consuluissent, qualis locutio non infrequens. Iterum mire Miniatus: *pallium enim habere visi sunt.* ni respexerit ad ipsum cum famulo necatum. qui sensus valere posset, licet ille prior accommodatior ad sequentia videatur. HAUPTM.

Εὑρέθησαν] Colligit sic: suspicio hujus cædis in latrones cadere nequit; quia vestibus jacentes spoliassent. Atqui ambo, tam herus, quam servus, cum vestibus reperti sunt. Ergo latrones eos non occiderunt. Sed ἂν sic erit tollendum, si εὑρέθησαν non ad latrones, sed ad peremtos refertur. [Servandum si ducemus ἄν, leg. erit οὐκ ἔχοντες, non sine particula infitiante, quod sic dictum idem erit, ac si dixisset more solito: οὐκ ἂν εὑρέθησαν ἔχοντες. nam si a latronibus peremti fuissent, cum vestibus reperti non fuissent, sed nudi. εὑρέθησαν sine dubio ad peremtos erit referendum. Ad latrones enim si referatur, hæc exsistat, multis modis absurda, sententia: *nam si latrones eos jugulassent, reperti fuissent latrones, habentes eorum vestimenta.* Primum jacentia exanimatorum corpora reperiuntur, non homines vivi: deinde, necesse non est, fingere, latrones ibi locorum mansisse, ubi vestes peremtorum potuissent notæ esse: tum, necesse non magis est comminisci, latrones vestes hominum a se peremtorum corporibus suis induisse; nam potuerunt eas etiam vendere: denique, si procul terrarum abissent, quis ibi vestes ignotas noscitasset, etiamsi eas gestassent? *Access. ad sua Antiph.*] REISK.

Οὐδεὶς γὰρ ἂν —] Nexus argumentationis, adumbratæ magis, ut conjectando elici debeat, quam expositæ et declaratæ, videtur hic esse. Nemo, cui sit inimicus capitalis et imprimis formidandus, quem ni de medio tollat, ipse perierit, nemo inquam in ejusmodi loco constitutus opportunitatem oblatam illum inimicum tollendi patiatur e manibus elabi, sed utatur potius ea, præsertim si opportunitas illa sponte sua obvenerit, et facinus factu facile sit. Atqui reus, quem ego cædis in hoc homine patratæ accuso, constitutus in ejusmodi loco erat. Oderat hominem, quem peremit: metuebat eundem, ut extrema sibi mala minantem et comparantem. Inveniebat eum in solitudine, securum, de periculo suo ne suspicantem quidem, ideoque inermem, et ad defensionem sui prorsus imparatum, sine protectore et vindice, et indice sceleris adeo. Ergo fecit: ergo tam insperatam, tam exoptatam occasionem præterlabi passus non est. IDEM. Bekkero obsecundans transpositionem feci.

Ὠφέλειαν] Commodum ex eo exsistens, si tu inimicum tuum, capitalem, quem certo noris tibi pestiferum fore, de medio tollas. IDEM.

Ἀφῆκεν] *Dimisit.* Respicit locus potius homicidam, qui capitis sui periculo facinus patrat, quam interemtum: subit is tale periculum cupiditate opum, honoris, vindictæ, hinc utilitatis cujuscunque, quam dimittere non vult. Temere Miniatus: *nullus enim in extremo animæ periculo constitutus præparatam et acquisitam utilitatem dimisit.* scribit hoc ipsum et præter rem, et præter orationis contextum. HAUPTM.

Ἐγινώσκετο] Reliqui compotores facile eum noscitassent, indeque protinus accusassent, si quis compotor alterum compotorem per temulentiam interemisset. REISK.

Ἐκ λοιδορίας] Tacite subjice e præmissis repetendum, διέφθειρεν ἄν τις αὐτόν. IDEM.

Ἐλοιδοροῦντο] Subaudi ἄν. Non videntur jurgium inter se commissuri fuisse noctu, et in solitudine. Cur non? quia nemo tum audisset. Solemus enim (sic fingit sophista, cujus argumenta persæpe sunt ficulnea) solemus, probra alteri ingerentes, non hoc spectare, quo eum pungamus, sed illud magis, quo alii, audientes dedecora proscissi, eum aversentur. IDEM.

Τούτου] Scil. τοῦ κειμένου, τοῦ φονευθέντος νῦν. IDEM.

Οὐ γὰρ ἂν] Subaudi εἰ ἁμαρτήσας τοῦ σκοποῦ, τοῦτον ἐφόνευσεν ἄκων. IDEM.

Τῷ ἀκολούθῳ] Ἀκόλουθος h. l. primarium nomen *pedissequum* notat. In perditis orationibus adhibetur et adjectivum. Lexicon

ἀπολυομένης δὲ τῆς ὑποψίας ἁπάσης, αὐτὸς ὁ θάνατος ἐξ
ἐπιβουλῆς ἀποθανόντα μηνύει αὐτόν. ἐπιθέσθαι δὲ τίνα
μᾶλλον εἰκός ἐστιν, ἢ τὸν μεγάλα μὲν κακὰ προπεπονθότα,
ἔτι δὲ μείζονα ἐπίδοξον ὄντα πάσχειν; ἔστι δ' ὁ διωκόμε-
νος οὗτος. ἐκ παλαιοῦ γὰρ ἐχθρὸς ὢν αὐτοῦ, πολλὰς μὲν
καὶ μεγάλας γραφὰς διώξας οὐδεμίαν εἷλεν· ἔτι δὲ μεί-
ζους καὶ πλείους διωχθεὶς, οὐδεπώποτ' ἀποφυγὼν ἱκανὸν
μέρος τῶν ὄντων ἀποβέβληκε· τὰ δ' [1] ἄγχιστα ἱερῶν κλοπῆς
δυοῖν ταλάντοιν γεγραμμένος ὑπ' αὐτοῦ, συνειδὼς μὲν αὐτῷ 627
τὸ ἀδίκημα, ἔμπειρος δ' ὢν τῆς τούτου δυνάμεως, μνησικα-
κῶν δὲ τῶν ἔμπροσθεν, εἰκότως μὲν ἐπεβούλευσεν, εἰκότως
δ' ἀμυνόμενος τὴν ἔχθραν ἀπέκτεινε τὸν ἄνδρα. ἥ τε γὰρ
ἐπιθυμία τῆς τιμωρίας ἀμνήμονα τῶν κινδύνων καθίστησιν
αὐτὸν, ὅ τε φόβος τῶν ἐπιφερομένων κακῶν ἐκπλήσσων
θερμότερον ἐπιχειρεῖν ἐπῆρεν. ἤλπιζέ τε τάδε μὲν δράσας
καὶ λήσειν ἀποκτείνας αὐτὸν καὶ ἀποφεύξεσθαι τὴν γρα-
116. φήν· οὔτε γὰρ ἐπεξιέναι οὐδένα, ἀλλ' [2] ἐρήμην αὐτὴν ἔσεσθαι·
εἴτε καὶ ἁλοίη, τιμωρησαμένῳ κάλλιον ἔδοξεν αὐτῷ ταῦτα
πάσχειν, ἢ ἀνάνδρως μηδὲν ἀντιδράσαντα ὑπὸ τῆς γραφῆς
διαφθαρῆναι. σαφῶς δ' ᾔδει ἁλωσόμενος αὐτήν· οὐ γὰρ ἂν
τόνδε τὸν ἀγῶνα ἐνόμισεν ἀσφαλέστερον εἶναι. Τὰ μὲν 628
βιασάμενα ταῦτά ἐστιν ἀσεβῆσαι αὐτόν. μάρτυρες δ' εἰ
μὲν πολλοὶ παρεγένοντο, πολλοὺς ἂν παρεσχόμεθα· ἑνὸς
δὲ τοῦ ἀκολούθου παραγενομένου, οἳ τούτου ἤκουον μαρτυ-
ρήσουσιν. ἔμπνους γὰρ ἔτι ἀρθεὶς, ἀνακρινόμενος ὑφ' ἡμῶν,

[1] ἔγχιστα

[2] ἔρημον

Saugermanense MS. Ἀκόλουθα. Ἀντιφῶν. τὰ ἑπόμενα καὶ σύμφωνα. Hauptm.

Ἀπολυομένης] Id est ἀναιρουμένης, *diluta, refutata*. Reisk.

Τῆς ὑποψίας] Num pro articulo sufficiendum est τῆδε *sic*, aut οὕτως: verum vereor, ne hoc sit ad vivum resecare. Idem.

Εἶχεν] L. πολλὰς — γραφὰς διώξας οὐδεμίαν εἷλεν, *sæpius actor neminem in judicio superavit*. Ad Eurip. Hippol. v. 1002. Valckenaer. F. εἷλεν. Taylor. Sic dedi de meo, pro vulgari εἶχεν. Nullam causam vicit reus, nunquam hunc, nunc exanimatum, condemnavit, quamquam sæpissime in jus a se vocatum. Reisk.

Εἰκότως μὲν] Post εἰκότως μὲν videtur deesse ὑπὲρ ἑαυτοῦ φοβούμενος. *suimet ipsius causa metuens*. quo membra sibi mutuo respondeant. Idem.

Καθίστησιν] Malim καθίστη in imperfecto, ob insequens ἐπῆρεν. Idem.

Τάδε] Malim τάχα *fortassis*. Idem.

Γραφὴν] Sacrilegii puta: quo etiam proximum αὐτὴν refertur. Idem.

Οὔτε γὰρ] Οὐδὲ leg. videtur. Idem.

Εἴτε] Malim εἰ δέ. Idem.

Ταῦτα πάσχειν] Scil. τὸ ἁλῶναι καὶ τὰς ἑπομένας τῷ ἁλῶναι τιμωρίας. Idem.

Τόνδε] Subaudi τὸν περὶ φόνου. Idem.

Ἀσφαλέστερον] Subaudi ἐκείνου τοῦ προσδοκωμένου περὶ ἱεροσυλίας. Idem.

Μάρτυρες] Scaliger mavult μάρτυρας nulla necessitate. Idem.

[1] τοῦτον μόνον ἔφη τῶν παρόντων γνῶναι αὐτούς. ἐξελεγχόμενος δ' ὑπό τε τῶν εἰκότων ὑπό τε τῶν παραγενομένων, οὐδενὶ τρόπῳ οὔτε δικαίως οὔτε συμφερόντως ἀπολύοιτ' ἂν
629 ὑφ' ὑμῶν. οἵ τε γὰρ ἐπιβουλεύοντες ἀνεξέλεγκτοι ἂν εἴησαν, εἰ μήθ' ὑπὸ τῶν παραγενομένων μήθ' ὑπὸ τῶν εἰκότων [2] ἐξελέγχωνται. ἀσύμφορόν [3] θ' ὑμῖν ἐστὶ τόνδε, μιαρὸν καὶ ἄναγνον ὄντα, εἰς τὰ τεμένη τῶν θεῶν εἰσιόντα μιαίνειν τὴν ἁγνείαν αὐτῶν, ἐπί τε τὰς [4] αὐτὰς τραπέζας ἰόντα συγκαταπιμπλάναι τοὺς ἀναιτίους· ἐκ γὰρ τούτων αἵ τε ἀφορίαι [5] γίνονται, δυστυχεῖς θ' αἱ πράξεις καθίστανται. οἰκείαν οὖν χρὴ τὴν τιμωρίαν ἡγησαμένους, αὐτῷ τούτῳ τὰ τούτου ἀσεβήματα ἀναθέντας, ἰδίαν μὲν τὴν συμφορὰν, καθαρὰν δὲ τὴν πόλιν καταστῆσαι.

β. ΑΠΟΛΟΓΙΑ ΕΙΣ ΤΟ ΑΥΤΟ ΠΡΑΓΜΑ.

ΥΠΟΘΕΣΙΣ.

ΟΜΟΛΟΓΕΙ μὲν τὴν πρώτην ἔχθραν τὴν πρὸς τὸν τεθνηκότα ὁ ἀπολογούμενος, ἀρνεῖται δὲ
630 τὸν φόνον, καὶ τεκμήριον τοῦ μὴ πεφονευκέναι ποιεῖται [6] τὴν ἔχθραν. λέγει γὰρ ὅτι ἐχθρὸς

[1] τοῦτο [2] ἐξελέγχονται [3] Deest θ'. [4] Deest αὐτάς. [5] γίνονται, καὶ δυστυχεῖς αἱ [6] Desunt τὴν ἔχθραν.

Γνῶναι αὐτοὺς] Hic omissionis signa * * ponente Bayero, Gesnerus observat, pro τοῦτο, si legas τοῦτον, et pro αὐτοὺς, αὐτὸς, non opus erit asteriscis: perfecta enim est sententia. Quocum et nos facimus, licet in contextu nihil ausim mutare. HAUPTM.

Αὐτοὺς] Hæc obscura sunt, et sine recto sensu videntur esse. Forte leg. τοῦτο μόνον ἔφη τῶν παρόντων γνῶναι αὐτὸν, id est, *id solum eum hoc novisse eorum qui aderant.* Sic sensus foret clarus et manifestus. PALMER. Mihi quidem, optime Palmeri, oratio tua obscurissima est, et sententiam ex illa tua interpretandi ratione non modo non claram, neque manifestam, sed ne ullam quidem colligo. Mea sententia dedit Antipho sic: τοῦτον μόνον ἔφη τῶν παρόντων γνῶναι αὐτὸς (aut αὐτοῦ), de toto globo sicariorum, qui cædi interfuissent, neminem alium, præterquam hunc, noscitasse, vel, alius nullius vultum sibi notum esse, præterquam hujus. αὐτοῦ si præferas, erit id, non genitivus, sed adverbium, *ibi*, ibi loci puta, ubi cædes patrata fuisset. REISK.

Τῶν οἰκετῶν] Lege οἰκέτων. TAYLOR. [Quod ego non intelligo. *Reisk.* Clare, ut puto, εἰκότων V. C. scribere voluit.] Num subaudiemus τῶν ἑαυτοῦ. Non videtur, sed proculdubio leg. est τῶν εἰκότων. ex argumentis probabilibus et consentaneis. docent insequentia: εἰ μήθ' ὑπὸ τῶν παραγενομένων, μήθ' ὑπὸ τῶν εἰκότων ἐξελέγχωνται. REISK.

Οἰκετῶν] Leg. est οἰκότων [sic] docent hæc, quæ mox sequuntur. GESNER.

Ἐξελέγχονται] Conjunctivus ἐξελέγχωνται videtur esse convenientior, vel optat. ἐξελέγχοιντο. REISK.

Ἀσύμφορον] Asyndeton hoccine sit, an aliquid desit, quis definiet? Antiquitatem certe, quam hæ Antiphontis reliquiæ spirant, haud dedecet ista orationis quasi rigiditas. Sin autem tamen statuamus copulam ab hoc loco abesse non debere, legemus ἔτι δὲ καὶ ἀσύμφορον, vel simile quid aliud subjiciemus. IDEM.

Ἐπί γε τὰς] Π. ἐπί τε τάς. H. STEPHAN. GESNER.

ὧν ᾔδειν πάντως τὴν αἰτίαν [1] κατ' ἐμαυτοῦ ἥξουσαν· διὰ τοῦτο οὐκ ἂν ἐφόνευον. διαβάλλει δὲ καὶ τὴν μαρτυρίαν τοῦ οἰκέτου, ὡς ἐκ παρασκευῆς γεγονυῖαν τῶν δεσποτῶν. οὐκ ἀπίθανον δέ φησι κακούργους ἀνελόντας αὐτὸν ἀποδῦσαι τὰ ἱμάτια μὴ φθάσαι.

ΟΥ μοι δοκῶ ἁμαρτάνειν ἀτυχέστατον ἐμαυτὸν ἡγούμενος εἶναι [2] τῶν πάντων ἀνθρώπων. τῶν μὲν γὰρ ἄλλων οἱ δυστυχοῦντες, ὁπόταν μὲν ὑπὸ χειμῶνος πονῶσιν, εὐδίας γενομένης παύονται· ὅταν δὲ νοσήσωσιν, ὑγιεῖς γενόμενοι σώζονται· ἐὰν δέ τις ἄλλη συμφορὰ καταλαμβάνῃ αὐτοὺς, τὰ ἐναντία [3] ἐπιγινόμενα ὀνίνησιν. ἐμοὶ δὲ ζῶν τε ἄνθρωπος ἀνατροπεὺς τοῦ οἴκου ἐγένετο· ἀποθανών τε, κἂν ἀποφύγω, ἱκανὰς λύπας καὶ φροντίδας ἐμβέβληκεν. εἰς τοῦτο γὰρ βαρυδαιμονίας ἥκω, ὥστε οὐκ ἀρκοῦν μοί ἐστιν ἐμαυτὸν ὅσιον καὶ δίκαιον παρέχοντα μὴ διαφθαρῆναι· ἀλλὰ κἂν μὴ τὸν ἀποκτείναντα εὑρὼν ἐξελέγξω, ὃν οἱ τιμωροῦντες αὐτῷ ἀδύνατοι εὑρεῖν εἰσὶν, αὐτὸς [4] καταδοχθεὶς φονεὺς εἶναι ἀνοσίως ἁλώσομαι. καὶ ἐμὲ ὡς δεινὸν μὲν παγχάλεπόν φασιν ἐλέγχεσθαι εἶναι, ὡς δ' ἠλίθιον ἐξ αὐτῶν ὧν ἔπραξα φανερὸν εἶναι ἐργασάμενον τὸ ἔργον. εἰ γὰρ νῦν διὰ τῆς ἔχθρας τὸ μέγεθος εἰκότως ὑφ' ὑμῶν καταδο- 631 κοῦμαι, πρὶν ἐργάσασθαι εἰκότερον ἦν τὸν εἰδότα τὴν ὑποψίαν τὴν νῦν εἰς ἐμὲ οὖσαν, καὶ τῶν ἄλλων εἴ τινα ἔγνων ἐπιβουλεύοντα αὐτῷ, διακωλύειν μᾶλλον ἢ αὐτὸν ἐργασάμενον εἰς ἑκουσίους καὶ προδήλους ὑποψίας ἐμπεσεῖν. ἔκ τε γὰρ αὐτοῦ τοῦ ἔργου φανερὸς γενόμενος ἀπωλλύμην, λαθών τε σαφῶς ᾔδειν τήνδε τὴν ὑποψίαν εἰς ἐμὲ οὖσαν. ἄθλια μὲν οὖν πάσχω, μὴ ἀπολογεῖσθαι μόνον βιαζόμενος, ἀλλὰ καὶ τοὺς ἀποκτείναντας φανεροὺς καταστῆσαι· ὅμως δὲ καὶ τοῦτο ἐπιχειρητέον. οὐδὲν γὰρ

[1] κατ' ἐμοῦ τὴν αἰτίαν [2] Deest τῶν. [3] ἐπιγενόμενα [4] καταδοκηθεὶς

β'. Τιμωροῦντες αὐτῷ] *Vindictam necato quærentes.* HAUPTM.

Εἰ γὰρ νῦν] Γὰρ prodit aliquid in ratiocinio deesse, in hanc ferme sententiam: *αὐτοὶ πάντων ὄντες ἠλιθιώτατοι, τοῦτο φάσκοντες, οὗ πᾶν τοὐναντίον εἰκὸς ἦν μᾶλλον εἶναι. ipsi cum sint omnium tardissimi, aientes id, cujus prorsus contrarium verum esse erat consentaneum.* REISK.

Πρὶν ἐργάσασθαι] Significat εἰ καὶ μὴ ἐργασάμενος. GESNER.

Εἰκότερον] *Vero similius fuisset,* seu *rei convenientius, ut ejusmodi suspicionem in me recumbentem haud ignorans, si quem et aliorum cognovissem insidias ipsi struentium, prohiberem potius ab instituto, quam ultro in apertas suspiciones inciderem.* HAUPTM.

Τὸν εἰδότα] Id est, ἐμαυτόν. interim haud repugnabo si quis ἐμαυτὸν εἰδότα leg. esse autumet. REISK.

Οὖσαν] Non improbo. fuit tamen quum de ἰοῦσαν suspicarer. verum tamen recurrit incontinenti et pag. 117. 7. vulgata. quare satius erit in ea acquiescere. IDEM.

πικρότερον τῆς ἀνάγκης [1]ἔοικεν εἶναι. ἔχω δὲ οὐδαμῶς
ἄλλως ἐλέγχειν ἢ ἐξ ὧν τοὺς ἄλλους ὁ κατήγορος ἀπο-
λύων αὐτὸν τὸν θάνατόν φησι μηνύειν ἐμὲ τὸν φονέα ὄντα.
εἰ γὰρ, τούτων ἀναιτίων δοκούντων εἶναι, ἐν ἐμοὶ τἀδίκημα
φανεῖται, τούτων ὑπόπτων ὄντων, [2]ἐγὼ δ' εἰκότως καθαρὸς
δοκοίην εἶναι. Ἔστι δὲ οὐκ ἀπεικὸς, ὡς οὗτοι φασὶν, 117. 1
ἀλλὰ εἰκὸς ἀωρὶ τῶν νυκτῶν πλανώμενον ἐπὶ τοῖς ἱμα-
τίοις διαφθαρῆναι. τὸ μὲν γὰρ μὴ ἐκδυθῆναι οὐδὲν σημεῖόν
ἐστιν· εἰ γὰρ μὴ ἔφθησαν περιδύσαντες αὐτὸν, ἀλλά τι-
632 νας προσιόντας φοβηθέντες ἀπέλιπον, ἐσωφρόνουν καὶ οὐκ
ἐμαίνοντο τὴν σωτηρίαν τοῦ κέρδους προτιμῶντες. εἰ δὲ
μὴ καὶ ἐπὶ τοῖς ἱματίοις διεφθάρη, ἀλλ' ἑτέρους ἰδὼν ἄλλο
τι κακὸν ποιοῦντας, ἵνα μὴ μηνυτὴς τοῦ ἀδικήματος γένη-
ται, ἀπέθανεν ὑπ' αὐτῶν, τίς οἶδε; [3]τοὺς δὲ μὴ πολὺ
ἧσσον ἐμοῦ μισοῦντας αὐτὸν — [4]ἦσαν δὲ πολλοὶ — πῶς
οὐκ εἰκὸς ἦν ἐμοῦ μᾶλλον διαφθεῖραι αὐτόν; ἐκείνοις μὲν
γὰρ φανερὰ ἦν ἡ ὑποψία εἰς ἐμὲ οὖσα, ἐγὼ δὲ ὑπὲρ ἐκείνων
ὑπαίτιος ἐσόμενος σαφῶς ᾔδειν. τοῦ δὲ ἀκολούθου ἡ μαρ-
τυρία πῶς ἀξία πιστεύεσθαι ἐστίν; ὑπό τε [5]γὰρ τοῦ
κινδύνου ἐκπεπληγμένον αὐτὸν οὐκ εἰκὸς ἦν τοὺς ἀποκτεί-
ναντας γνῶναι, ὑπό τε τῶν κυρίων ἀναγινωσκόμενον ἐπι-

[1] ἔδοξεν [2] ἔγωγ' [3] τούσδε [4] Desunt ἦσαν - - αὐτόν; [5] Deest γάρ.

Θάνατον] Præter causam Bayerus habet θανόντα, cum explicari debeat, *ipsam necis rationem indicare me homicidam esse.* Hauptm.

Ἔφθησαν περιδύσαντες] *Non assecuti sunt scopum ipsos vestibus plane spoliandi.* quem significatum etiam adoptat περιδύω. Idem.

Προτιμῶντες] *Salutem lucro præferentes.* Idem.

Εἰ δὲ μὴ καὶ] Καὶ videtur prodere, hic aliquid deesse. Num sic leg. est, εἰ δὲ μὴ, *sin autem minus,* scil. factum est id, de quo agitur, tum addit, quasi interpretem suæ sententiæ acturus, *καὶ οὐκ ἐπὶ τοῖς ἱ. δ. hoc est, si nemo eum occidit cupiditate vestium.* Aut lege εἰ δὲ καὶ μὴ ἐπί. Reisk.

Ἀλλ' ἑτέρους] Ἀλλὰ nonnunquam simul interrogat. 2 Corinth. VII. 11. vel hortatur. Homer. Iliad. I. 338. 394. Actor. X. 20. Lamb. Bos Observ. Miscell. c. 19. fine. Hauptm.

Ὡς οἶδε] Deseruerat hic Aldini codicis fidem Bayerus, quod et Gesnerus observat, simul interrogandi signum accurate jungens, dum vertit: *num vero ne vestium quidem causa interemtus sit, sed alios cum vidisset, maleficium aliud forte perpetrantes, ne sceleris index fieret, ab illis interfectus fuerit, quis novit? Scilicet non multo minus, quam ego, illum odio habentes.* Equidem arbitror prima verba concessioni, sed ἀλλὰ interrogationi servire; quod et apud Lysiam fieri, docebit index, cum Lysianus [sic exaraverat Hauptmannus, volens fortassean Tayloranus dare. *Reisk.*] tum noster. Porro τοὺς δὲ mihi conjecturam novam incipit, omissione Græcis, nominatim Atticis, haud insueta. Conf. Orat. IV. §. 14, sqq. Editio Hanoviana post τίς οἶδε ponit defectus signum; Miniatus autem inserit, *cæteris servis in testimonio dicendo non creditis.* Idem.

Ὑπό τε τοῦ] Videtur γὰρ inserendum esse, ad hunc modum: ὑπό τε γὰρ τοῦ. Reisk.

Τῶν κυρίων] Imo vero τῶν οὐ κυρίων. ab iis quorum in potestate non esset, quibus non liceret tormenta ei admovere, per quæ veritatis confessio ab eo exprimeretur. Idem.

Ἀναγινωσκόμενον] Ἀναγινωσκόμενος est

νεῦσαι ἦν εἰκός. ἀπιστουμένων δὲ καὶ τῶν ἄλλων δούλων 633
ἐν ταῖς μαρτυρίαις — οὐ γὰρ [1] ἂν ἐβασανίζομεν αὐτοὺς —
πῶς δίκαιον τούτῳ μαρτυροῦντι πιστεύσαντας διαφθεῖραί 634
με; εἰ δέ τις τὰ εἰκότα ἀληθέσιν ἴσα ἡγεῖται καταμαρ-
τυρῆσαί μου, ταὐτὸν ἀντιλογισάσθω, ὅτι με εἰκότερον ἦν
τὴν ἀσφάλειαν τῆς ἐπιβουλῆς τηροῦντα φυλάξασθαι καὶ
μὴ παραγενέσθαι τῷ ἔργῳ μᾶλλον ἢ τοῦτον σφαττόμενον

[1] Deest ἄν.

subornatus, institutus, persuasus. Gesner. Conf. Harpocr. ad h. l. provocans. Sic et Thomas Mag. εὕρηται παρ' Ἡροδότῳ ἀναγινώσκω, τὸ ἀναπείθω. Hauptm.

Ἀναγινωσκόμενον] Idem est h. l. atque ἀναπειθόμενον, persuasum, sollicitatum, inductum, ad prodendum id, quod hujus rei nosset. Reisk.

Τῶν ἄλλων δούλων] Accipio pro dicto sic, paulo planius et dilucidius, τῶν ἄλλοις ὄντων δούλων, mancipiorum, qui non sunt in nostra potestate, sed in aliena. Vis argumenti in hoc versatur. Servus, e cujus verbis, plane non perspicuis, sed potius ænigmati similibus, conflata mihi fuit suspicio patrati sceleris, servus fuit occisi, non eorum, qui ipsum interrogarunt. Ergo nullius ponderis est ejus oratio. Servus enim si quis alicui aliquid affirmet pro facto, cujus in potestate non sit, illius servi testimonio fides certa haberi non potest. Servus enim ubi metu pœnæ, si mentiatur, vacat, etiamsi verum dicat, fidem tamen suspectam habet, quia servi hoc sunt ingenio, ut facile mentiantur, ubi pœnæ metus eos a mentiendo nullus absterreat. Atqui ab eo, cujus in potestate servus non est, nihil habet quod metuat. Solus enim dominus, et præter eum nemo alius, servo tormenta potest admovere. Verum cur tam quæsitum et dilutum affert sophista argumentum, cum potuisset hoc fortius atque stringentius urgere, homicidæ nomen a moriente servo nullum editum, sed adumbratum solummodo captiosa et perplexa responsione fuisse? Non satis bene respondet hic locus refutationis superiori illi accusationis loco, cui vult occurrere. Idem.

Οὐ γὰρ ἐβασανίζομεν] Subaudi ἄν, quod illi vetustiores amant omittere. Servi enim si verum semper loquerentur, non torquerentur. Atqui torquentur. Ergo verum non semper loquuntur. Idem.

Τούτῳ] Qui fuit non meus, sed alius domini, servus. Colligit sic. Fidi non potest servis propriis; quanto minus potest alienis fidi. Sed hic servus non mei juris fuit, sed alieni. Ergo omnium minime ejus oratione fidi potest. Injustum ergo sit me ob alieni servi professionem perimi. Idem.

Ἀληθέσιν] Malim τοῖς ἀληθέσιν cum articulo, ob præmissum τὰ εἰκότα. Idem.

Ταὐτὸν ἀντιλογισάσθω] Similiter etiam ex adversa parte rationes subducat. Quæ sequuntur obscuriora sunt, sed ejusmodi paraphrasi explicanda. Dictum est ab adversario probabilius esse me interfuisse cædi, quam ab ea abfuisse, ut eo major inde fieret fides testimonio servi, qui me nominarit. Ego vero si cædem illi machinatus essem, quod tamen a cogitatione mea procul abfuit, potius insidiaturus ex tuto fuissem, ac mihi cavere maluissem, nec interesse operi, quam tanto cum periculo certo scire illum interemtum, ut ea causa me tantum in periculum conjicerem. Gesner. Equidem obscuritatem non sentio, vertens: *meque potius non interfuisse, quam ejus cædem coram cognovisse.* qui cognoscunt absentes, oblique quasi cognoscunt. Conf. Or. XI. §. 10. Benzii Thes. p. 465. sq. Hauptm.

Ταὐτὸν] Malim τοῦτό γ' aut ταῦτά γ'. Reisk.

Τὴν ἀσφάλειαν τῆς ἐπιβουλῆς τηροῦντα] Servat ille certitudinem et cautionem insidiarum, h. e. tutissimam et circumspectissimam rationem ex insidiis aliquem interimendi, qui ab agressione et insultu in eum abest, quia facile fieri potest, ut ab aliis hominibus concursu facto intervenientibus homicidæ ipso in facinore deprehendantur atque comprehendantur. Idem.

Φυλάξασθαι] Ne scilicet interessem facinori, meique copiam sic facerem. Statim ipse declarat et interpretatur veluti, addendo, καὶ μὴ παραγενέσθαι. Idem.

Παραγενέσθαι] Confirmat hoc suspicionem a nobis ad p. 116. 7. proditam, ibi leg. esse τῶν παρόντων εἶναι. homicidam, a quo hæc cædes patrata esset, unum aliquem de corona circumstante esse. Idem.

Ἢ τοῦτον σφαττόμενον ὀρθῶς γνῶναι] Idem est ac si dixisset: ἢ παραγενέσθαι καὶ οὕτως ὀρθῶς [id est, ἀκριβῶς, καὶ βεβαίως

635 ὀρθῶς γνῶναι. ὡς δὲ οὐδὲ τὸν κίνδυνον οὐκ ἀσφαλέστερον τοῦ ἀπὸ τῆς γραφῆς ἡγούμην εἶναι, ἀλλὰ πολλαπλάσιον, εἰ μὴ παρεφρόνουν, διδάξω. ἁλοὺς μὲν γὰρ τὴν γραφὴν, τῆς μὲν οὐσίας ᾔδειν ἐκστησόμενος, τῆς δὲ πόλεως καὶ τοῦ σώματος οὐκ ἐστερούμην, περιγενόμενος δὲ καὶ ληφθεὶς, κἂν
636 ἔρανον παρὰ τῶν φίλων συλλέξας, οὐκ ἂν εἰς τὰ ἔσχατα κακὰ ἦλθον· ἐὰν δὲ νῦν καταληφθεὶς ἀποθάνω, ἀνόσια ὀνείδη τοῖς [1] παισὶν ὑπολείψω, ἢ φυγὼν γέρων καὶ ἄπολις ὢν ἐπὶ ξενίας πτωχεύσω. Οὕτω μὲν ἃ κατηγόρηταί μου,

[1] παισὶ καταλείψω

διὰ τῆς τῶν ἐμῶν ὀφθαλμῶν πίστεως] γνῶναι, ὅτι οὗτος ἀληθῶς σφάττεται, ὃν ἐβουλόμην σφάττεσθαι. Idem.

Οὐκ] Imo vero τοῦτον. hoc discrimen in quod nunc conjectus sum, per insimulationem cædis a me patratæ. Idem.

Τοῦ ἀπὸ τῆς γραφῆς] Quam discrimen alterum illud, quod mihi imminebat e crimine sacrilegii, quo me inimicus reum facere parabat. Idem.

Εἰ μὴ παρεφρόνουν] Aut necesse est, ait, ut ego vobis videar plane cerritus esse, aut si me menteconstareadhucexistimatis, necesse est ut ego crimen cædis patratæ multo gravius duxerim, quam crimen sacrilegii. Idem.

Πόλεως] Ergo sacrilegii pœna solummodo illa levior erat, ut bona rei confiscarentur, cæterum ipse capite non minueretur. Vix credibile est. Homicidæ vero non bona solum confiscabantur, sed etiam exsilio, aut, si maneret in urbe, neque ante dictam sententiam ultro exsulatum iret, morte mulctabatur. Idem.

Ληφθεὶς] Pro ληφθεὶς legerem λειφθεὶς *relictus in urbe*. pecuniariæ rei damnatus, in urbe manere potest, rei capitalis judicatus exsilio mulctatur. Gesner. At et ληφθεὶς esse potest tali causa cadens. Hauptm.

Καὶ ληφθεὶς] F. λειφθείς. Taylor. durus locus et intractabilis. Obvium quidem hoc et in promtu positum, leg. esse καὶ οὐ λειφθείς. Copia hæc est orationis. nam καὶ οὐ λειφθεὶς idem valet atque περιγενόμενος, et ambo istæc, pæne dixerim tautologa, ex opposito respiciunt ad illud præmissum ἁλοὺς μέν. *victus quidem causa—superior autem factus et non victus*—notum est verbum λείπεσθαι in re palæstrica et athletica, de certatore usurpatum, qui ab adversario superatur. In hoc itaque res plana quidem et expedita est. Sed attende quid sequatur. Victor autem ubi ex hoc certamine discessero — quid tum? nemo me teruncio mulctaverit. Recte vero. At tu ais, spem tibi esse, fore ut amici tui stipem, qua sustenteris, colligant. Atqui nemini beneficium hoc tribuitur, nisi pauperi facto, nisi necessitate indigentiæ presso, nisi mulctato. Fateris ergo, te vereri, ne mulcteris, etiamsi causam viceris. Qui consistent hæc secum? Haud expedio. Aut deest aliquid ad sententiæ integritatem, aut si nihil deest, et sana verbis inest sententia, hæc videtur esse, ut dicat reus. Sin autem vicero causam, tametsi sum pauper, nihil tamen rerum ad vitam degendam necessariarum mihi defuerit. Sunt enim mihi amici, qui stipem conferant, unde alar. [Possit lectio ληφθεὶς, quam in annotatt. damnavi, nihilominus tamen defendi, atque probari, hactenus puta, ut 1) περιγενόμενος accipiatur, non pro *causa superior factus*, sed *e judicio vita salva domum reversus*. 2) ut ληφθεὶς accipiatur pro καταληφθεὶς *damnatus*. Verum an simplex λαμβάνεσθαι, pari modo atque compositum καταλαμϐ., usurpetur pro κατακρίνεσθαι, adhucdum mihi non constat. Foret, his admissis et probatis, hæc hujus loci sententia. Quod si autem spiritum salvum e judicio reportassem, etiamsi damnatus, nihil tamen ideo verendum habebam, ne ad extremam paupertatem deciderem, quia amici, quibus abundo, collaturi fuissent stipem, unde alimenta habuissem necessaria. *Access. ad sua Antiph.*] Reisk.

Ἔρανον] Hunc singulari prolusione tractavi. Hauptm.

Καταληφθεὶς] Verbum h. l. forense. καταλαμβάνεσθαι dicitur reus, cum ab accusatore vinculis argumentorum ita constrictus tenetur, ut effugere nequeat, sed necesse habeat crimen fateri. νῦν significat, in hoc cædis crimine. Reisk.

Ἐπὶ ξενίας] Subaudi γῆς. est ergo ξενίας non substantivum, sed adjectivum trium terminationum. Ego vero cum in

πάντα ἄπιστά ἐστιν· ἀπολύεσθαι δὲ ὑφ᾽ ὑμῶν, εἰ καὶ 637
εἰκότως μὲν, ὄντως δὲ, μὴ ἀπέκτεινα τὸν ἄνδρα, πολὺ μᾶλ-
λον δίκαιός εἰμι. ἐγώ τε γὰρ φανερὸν ὅτι μεγάλα ἀδι-
κούμενος ἠμυνάμην· οὐ γὰρ ἂν ἐδόκουν εἰκότως ἀποκτεῖναι
[1]αὐτόν· τούς τε ἀποκτείναντας καὶ οὐ τοὺς αἰτίαν ἔχον-
τας ἀποκτεῖναι ὀρθῶς ἂν [2]καταλαμβάνητε. ἐκ δὲ παντὸς 638
τρόπου ἀπολυόμενος τῆς αἰτίας ἔγωγε, οὔτε εἰς τὰ τεμένη
εἰσιὼν τὴν ἁγνείαν τῶν θεῶν μιανῶ, οὔτε ὑμᾶς πείθων
ἀπολῦσαί με ἀνόσια πράττω. οἱ δὲ διώκοντες μὲν ἐμὲ τὸν
ἀναίτιον, τὸν δ᾽ αἴτιον ἀφιέντες, τῆς τε ἀφορίας αἴτιοι
γίνονται, ὑμᾶς τε ἀσεβεῖς εἰς τοὺς θεοὺς πείθοντες κατα-
στῆναι πάντων ὧν ἐμὲ ἄξιόν φασι παθεῖν εἶναι, δίκαιοί
εἰσι τυγχάνειν. τούτους μὲν οὖν τούτων ἀξίους ὄντας ἀπί-
στους ἡγεῖσθε· ἐμὲ δὲ ἔκ [3]τε τῶν προειργασμένων γνώσεσθε
οὔτε ἐπιβουλεύοντα οὔτε τῶν οὐ προσηκόντων ὀρεγόμενον,
ἀλλὰ τἀναντία τούτων, πολλὰς μὲν καὶ μεγάλας εἰσφο-
ρὰς εἰσφέροντα, πολλὰ δὲ τριηραρχοῦντα, λαμπρῶς δὲ
χορηγοῦντα, πολλοὺς δὲ ἐρανίζοντα, μεγάλας δὲ ὑπὲρ

[1] Desunt αὐτὸν - - - - ὀρθῶς. [2] καταλαμβάνηται [3] Deest τε.

hac formula usurpari ξένος norim, et dici, ἐπὶ ξένης, tum haud memini alterum in hac re usitatum esse. Ergone h. l. ἐπὶ ξένης erit leg? Idem.

Εἰκότως μὲν, ὄντως δὲ μὴ] Alius dixisset οὐ μὲν ὄντως, εἰκότως δὲ, si causa mea esset ejusmodi, ut quem revera non occidissem, tametsi ea laborarem infamia, is me tam graviter læsisset, ut omnes deberent fateri, me recte fecisse, si eum occidissem. Idem.

Δίκαιός εἰμι] *Legitime idoneus.* addantur quæ paulo post v. 12. sequuntur. Plato principio Critonis: δίκαιοί ἐσμεν, σώσαντές σε, κινδυνεύειν τοῦτον τὸν κίνδυνον, id est, δίκαιόν ἐστιν ἡμᾶς. quod Atticismo tribuit Clericus Art. Critic. T. p. 244. Hauptm.

Μεγάλα] Scil. κατὰ μέρη, *gravem injuriam patiens dixi causam*, vel *injuriam propulsavi.* Idem.

Καταλαμβάνηται] Quomodo sanus esse possit, aut explicari hic locus, non video. quod ideo notavi, quoniam reliqua sic satis intelligere mihi videor. Gesner. Equidem explico, *si comprehendatur*, aut *intelligatur.* sive quod dico, sive quod circumstat rem, non videbor interfecisse. Hauptm.

Παντὸς τρόπου] *Omni modo respectuque.* Idem.

Παντὸς τρόπου] Sive aiam, sive negem me hanc cædem patrasse, utrovis modo decet me absolvi. Sive aiam; dicerem enim me meritum occidisse; et absolverat me necessitas inculpatæ tutelæ. Sive negem; qui neminem occidit, plecti is ob homicidium nequit. Reisk.

Πείθων] In oratione politica Nostrum et ἀπειθαρχία posuisse, contendit Antiatticista MS. Hauptm.

Πράττω] Videtur aut utrumque futurum, aut utrumque præsens esse tempus debere. Sed defenditur merito nostra lectio. dum alterum revera pertinebat ad imminentia seu futura. Idem.

Ἀνόσια πράττω] Facinus enim impium erat decipere mendaciis judices, eoque eos inducere ut cædis patratæ vere reum absolvant. Sic enim reatus sanguinis inulto effusi non solum judicibus: sed etiam toti civitati contrahitur, totusque populus iræ deorum obnoxius fit, quæ ira per sterilitatem terræ late vagantem, per lues stragesque hominumque et bestiarum grassatur. Unde regnis amplissimis pestis et desolatio exsistit. Reisk.

Πολλοὺς δ᾽ ἐρανίζοντα] Dum didicero,

639 πολλῶν ἐγγύας ἀποτίνοντα, τήν τε οὐσίαν οὐ δικαζόμενον ἀλλ᾽ ἐργαζόμενον κεκτημένον, φιλοθύτην δὲ καὶ νόμιμον ὄντα. [1] τοιούτου δὲ ὄντος μου μηδὲν ἀνόσιον μηδὲ αἰσχρὸν καταγνῶτε. εἰ δὲ ὑπὸ ζῶντος ἐδιωκόμην, οὐκ ἂν μόνον ὑπὲρ ἐμαυτοῦ ἀπελογούμην, ἀλλ᾽ αὐτόν τε τοῦτον καὶ τοὺς τούτῳ μὲν βοηθοῦντας, παρ᾽ ἐμοῦ δὲ ὠφελεῖσθαι ζητοῦντας ἐφ᾽ οἷς κατηγορεῖταί μου, ἀπέδειξα ἂν ἀδικοῦντας. ταῦτα μὲν
640 οὖν ἐπιεικέστερον [2] ἢ δικαιότερον παρήσω· δέομαι δ᾽ ὑμῶν, ὦ ἄνδρες τῶν μεγίστων κριταὶ καὶ κύριοι, ἐλεήσαντας τὴν ἀτυχίαν μου ἰατροὺς γενέσθαι αὐτῆς, καὶ μὴ συνεπιβάντας τῇ τούτων ἐπιθέσει περιϊδεῖν ἀδίκως καὶ ἀθέως διαφθαρέντα με ὑπ᾽ αὐτῶν.

γ. ΕΚΚΑΤΗΓΟΡΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

ΥΠΟΘΕΣΙΣ.

ΤΑ εἰρημένα ὑπὸ τοῦ κατηγορουμένου λύει ἐνταῦθα, ὡς οὔτε ἄπιστος ἡ μαρτυρία τοῦ οἰκέτου, οὔτε ἀπίθανον [3] πλούσιον ὄντα καὶ ἔνδοξον ποιῆσαι τὸν φόνον, διακινδυνεύειν μέλλοντα ὑπ᾽ αὐτοῦ τὴν οὐσίαν ἀπολέσαι. τὰς προτάσεις δὲ λύει κατὰ περιτροπήν· ἐκείνου γὰρ εἰπόντος ὅτι ἀτυχής εἰμι, περιτρέπει λέγων ὅτι ἡ ἀτυχία παρ᾽ αὐτοῦ ἀδικεῖται.

---

641 ΗΤΕ ἀτυχία ἀδικεῖται ὑπ᾽ αὐτοῦ, ἣν προϊστάμενος τῆς 118. 1
κακουργίας ἀφανίσαι τὴν αὐτοῦ μιαρίαν ζητεῖ· ὑπό τε ὑμῶν οὐκ ἄξιος ἐλεεῖσθαί ἐστιν, ἀκούσιον μὲν τῷ παθόντι

[1] τούτου [2] Desunt ἢ δικαιότερον. [3] πλούσιον ὄντα] ὂν ἀλλὰ

quod me fugit adhuc suspensumque dubitatione habet, bene Græcum esse ἐρανίζειν τινὰ in eo significatu, qui huic loco convenit, scilicet, alicujus amici sustentandi, aut sublevandi gratia, stipem pecuniariam conferendi, persuasum ego equidem mihi habebo, leg. esse h. l. πολλοῖς in dativo. Sed et si bene memini, ἐρανίζειν non significare solet, stipem conferre, sed colligere, exigere, corrogare. Viderent de hoc ii, quibus adversaria formulis Græcis locupletius instructa sunt, quam mihi est memoria. Reisk. Legendum πολλοῖς. ἐρανίζειν τινὶ, est, conferre in aliquem pecuniam, et eranon largiri: ἐρανίζειν τινὰ, idem est quod, petere, et exigere ab aliquo eranon. *In Obss. ad Jus A. et R.* c. ii. p. 57. Salmasius.

Τούτου] Π. τοιούτου. H. Stephan.

Βοηθοῦντας] Subaudi λόγῳ, verbotenus et specie tenus tantummodo, nam revera lucrum ipsi suum ex hac re captant. Reisk.

Ὠφελεῖσθαι ζητοῦντας] Id est, ἐξ ἐμοῦ χρηματίζεσθαι. student crumenam meam everrere, numis me emungere. vexant et territant me calumniis, et mendacibus criminationibus, quo silentium eorum largitionibus redimam. aut e bonis meis fisco adjudicatis ditescere volunt, quorum vix centesimam partem sinent ad fiscum pervenire, ipsi pleraque aufferent et sibi vindicabunt. Idem.

Κατηγορεῖται] Gesnerus legit κατηγοροῦνται. Hauptm.

Ἐφ᾽ οἷς κατηγορεῖταί μου] Id est, διὰ ταῦτα κακουργήματα, ἃ κατηγοροῦσιν ἐμοῦ] Illorum criminum ergo, quorum insimulor. Reisk.

Ἐλεήσαντες] Π. ἐλεήσαντας. H. Stephan.

περιθεὶς τὴν συμφορὰν, ἑκουσίως δὲ αὐτὸς εἰς [1] τοὺς κινδύνους καταστάς. ὡς μὲν οὖν ἀπέκτεινε τὸν ἄνδρα, ἐν τῷ προτέρῳ λόγῳ ἀπεδείξαμεν· ὡς δὲ οὐκ ὀρθῶς ἀπελογήθη, νῦν πειρασόμεθα ἐλέγχοντες. Εἴτε γὰρ προσιόντας τινὰς ἰδόντες οἱ ἀποκτείναντες αὐτοὺς ἀπολιπόντες ᾤχοντο, φεύγοντες πρότερον ἢ ἀπέδυσαν, οἱ ἐντυχόντες [2] ἂν αὐτῷ, εἰ καὶ τὸν δεσπότην τεθνεῶτα εὗρον, τόν γε θεράποντα, ὃς ἔμπνους ἀρθεὶς ἐμαρτύρει, ἔτι ἔμφρονα εὑρόντες, σαφῶς ἀνακρίναντες τοὺς ἐργασαμένους ἤγγειλαν ἂν ἡμῖν, καὶ οὐχ οὗτος τὴν αἰτίαν εἶχεν· εἴτε ἄλλοι τινὲς ἕτερόν τι 642 [3] τοιοῦτον κακουργοῦντες ὀφθέντες ὑπ᾽ [4] αὐτῶν, ἵνα μὴ γνωσθῶσι διέφθειραν αὐτοὺς, ἅμα τῷ τούτων φόνῳ τὸ κακούργημα ἂν ἐκηρύσσετο, καὶ εἰς τούτους ἂν ἡ ὑποψία ἧκεν. οἵ τε ἧσσον κινδυνεύοντες τῶν μᾶλλον ἐν φόβῳ ὄντων οὐκ οἶδ᾽ ὅπως ἂν μᾶλλον ἐπεβούλευσαν αὐτῷ. τοὺς μὲν

[1] Deest τούς. [2] ἂν, * αὐτῶν εἰ [3] Deest τοιοῦτον. [4] αὐτῷ

γ. Πειρασόμεθα ἐλέγχοντες] Π. ἐλέγχειν. Idem. Aut cum Stephano auctore participium cum infinitivo ἐλέγχειν est mutandum, aut interponendum est ἀποδείξειν. Reisk.

Αὐτοὺς] Αὐτόν. Taylor. Herum puta servumque. Reisk.

Αὐτῶν] Sic dedi de meo, pro vulgari αὐτῷ cum addito commate, quod comma hic expunxi et ante αὐτῶν posui. Nam αὐτῶν, scil. τῶν φονευθέντων, cohæret cum τὸν δεσπότην et τὸν θεράποντα. horum duorum peremtorum alterum herum, alterum servum. Aut leg. οἱ ἐντυχόντες ἂν αὐτοῖς, εἰ καὶ &c. Idem.

Ὡς ἔμπνους—] F. leg. ὃς ἔμπνους ἀρθεὶς τούτου κατεμαρτύρει. Idem.

Εὔφρονα] Π. ἔμφρονα. H. Stephan.

Ὑπ᾽ αὐτοῦ] Imo vero ὑπ᾽ αὐτῶν. ab hero et servo. Reisk.

Τούτους] In hos maleficos, fures, latrones, vecticularios, manticularios; non autem in hunc, qui nunc reus agitur, incurrisset suspicio. Idem.

Οἵ τε ἧσσον—] Intricatior sententia sic forsitan est explicanda. Nescio autem quo jure magis censendi sint insidias illi fecisse, qui minori erant in periculo, quam qui timebant vehementius. Si enim *his* timor et sceleris magnitudo sedare libidinem insidiandi potuit, multo magis *illis*, vel cogitato jam scelere, periculum et probrum majus impetum animi reprimere debuit facinoris rationibus. Rationes facinoris voco, quod Antiphon uno vocabulo διαφορὰν [sic] nostri vulgo *Interesse*. Majus est periculum facinoris rationibus, cum non tanta nostra interest facinus perpetrare, quantum est periculum facinore perfecto. Gesner. Respicitur quidem III. 12. sqq. nihilque patet difficultatis, quatenus οὐκ οἶδ᾽ ὅπως ἂν propositionem incisam agnoscamus, ac per *ich weiss selbst nicht wie* [*I know not how*], vel *omnino, facillime, prorsus* explicemus. Habet autem et ordinem inversum *his, illis*. Hauptm.

Οἵ τε ἧσσον κινδυνεύοντες] Idem est, ac si dixisset: εἴτε τινὲς ἄλλοι ἦσαν φοβούμενοι μὲν καὶ αὐτοὶ γραφῆναι ὑπὸ τοῦ νῦν φονευθέντος, εἰ περιῆν, οὐχ ὁμοίως δὲ φοβούμενοι τῷ νῦν ὑπ᾽ ἐμοῦ εἰς τοῦτον τὸν ἀγῶνα καταστάντι, ἀλλὰ πολὺ ἧσσον. Reisk.

Τῶν μᾶλλον ἐν φόβῳ ὄντων] Designat reum hunc a se cædis accusatum. Colligit sic: qui minus aliquem metuunt, ei minus quoque insidiantur; qui magis metuit, is magis etiam ad insidiandum stimulatur. Sed hic meus reus omnium hominum maxime metuit peremtum. Ergo etiam censendus est omnium maxime insidiatus ejus vitæ fuisse. Constructio verborum hæc est: οὐκ οἶδα ὅπως ἂν αὐτῷ [τῷ φονευθέντι puta] μᾶλλον ἂν ἐπεβούλευσαν οἱ ἐν ἥσσονι φόβῳ ὄντες, id est, οὐκ ἐνδέχεται τοὺς ἧσσον φοβουμένους τινὰ ἐπιβουλεύειν αὐτῷ μᾶλλον, ἢ τοὺς τὸν αὐτὸν μᾶλλον φοβουμένους, ἀλλὰ φύσει οἱ ἧσσον φοβούμενοι καὶ ἧσσον ἐπιβουλεύουσι, etc. Idem.

Τοὺς μὲν γὰρ] Scil. τοὺς μᾶλλον φοβου-

γὰρ ὅ τε φόβος ἥ τε ἀδικία ἱκανὴ ἦν παῦσαι τῆς προ-
643 θυμίας, τοῖς δὲ ὅ τε κίνδυνος ἥ τε αἰσχύνη μείζων οὖσα
τῆς διαφορᾶς, εἰ καὶ διενοήθησαν ταῦτα πρᾶξαι, ἀρκοῦσα
ἦν σωφρονίσαι τὸ θυμούμενον τῆς γνώμης. οὐκ ὀρθῶς δὲ
τὴν τοῦ ἀκολούθου μαρτυρίαν ἄπιστον λέγουσιν εἶναι. οὐ
γὰρ ἐπὶ ταῖς τοιαύταις μαρτυρίαις βασανίζονται, ἀλλ'
ἐλεύθεροι ἀφίενται· ὁπόταν δὲ ἢ κλέψαντες ἀπαρνῶνται ἢ
644 συγκρύπτωσι τοῖς δεσπόταις, τότε βασανίζοντες ἀξιοῦμεν
ἀληθῆ λέγειν αὐτούς. οὐδὲ μὴν ἀπογενέσθαι ἢ παραγενέ-
σθαι εἰκότερον αὐτόν ἐστιν. εἰ γὰρ ἀπεγένετο, τὸν μὲν
[1]κίνδυνον τὸν αὐτὸν ἔμελλε καὶ παρὼν κινδυνεύειν — [2]πᾶς
γὰρ αὐτῶν ληφθεὶς τοῦτον ἂν τὸν ἐπιβουλεύσαντα ἤλεγχεν
ὄντα —, τὸ δ' ἔργον ἧσσον πράσσειν· οὐδεὶς [3]γὰρ ὅστις

[1] κίνδυνον οὐ τὸν [2] πῶς γὰρ ἂν αὐτῶν ὁ ληφθεὶς [3] Deest γάρ.

μένους. quorum in numero est reus nunc accusatus. IDEM.

Ἀδικία] Bene si habet, significat h. l. cogitationem pectus ferientem, quod tu patres, id scelus esse, tametsi occultum maneat, pœnasque effugiat. Alias suspicer de αἰκία. *fœditas et atrocitas suppliciorum.* IDEM.

Ἱκανὴ] Imo vero οὐχ ἱκανή. non satis tenax frenum erat ipsis metus, quo retinerentur et absterrerentur ab exsequendo proposito cædis. Duos nominat orator acerrimos ad facinus patrandum stimulos. 1) enormitatem metus, omnes alias sapientes cogitationes, omnem providentiam et cautionem obliterantis, atque mentem prorsus exsternantis. 2) τὴν ἀδικίαν, enormitatem flagitiositatis grassari in scelera ardentis pudorem et reverentiam, et humanitatem, amoremque sui aliorumque ex animo prorsus evellentis. IDEM.

Τοῖς δὲ] Scil. τοῖς ἧσσον φοβουμένοις. quibus minores metuendi causæ sunt, quia minus et intra veniam peccarunt. IDEM.

Μείζων] Est ei ὁ κίνδυνος τῆς διαφορᾶς, qui plus perdat, et majus damnum sibi ipse consciscat, ab ultione inimici, quam lucretur. et μείζων ἡ αἰσχύνη τῆς διαφορᾶς est ei, qui ultionem suarum inimicitiarum minoris facit, quam dedecus ex eo ad se profecturum, si inimicus, a se exagitatus, clandestinam aliquam ipsius labem aperiat, occultum aliquod facinus prodat. magis itaque metuit ignominiam suam, quam appetit satisfacere ultioni. IDEM.

Λέγουσιν] Reus puta cum suis advocatis. IDEM.

Ταῖς τοιαύταις μαρτυρίαις] Quale est hujus peremti servi testimonium, prodentis eum, a quo herus fuisset occisus. IDEM.

Ἢ κλέψαντες] Sic dedi de meo, pro vulgari οἱ κλ. Malim quoque συγκλέψαντες. IDEM.

Τοῖς δεσπόταις] Subaudi κλέψασι τὰ κλέμματα. Post λέγειν addendum videtur ἀναγκάζειν. IDEM.

Ἐστιν. εἰ γὰρ —] Auctor probare vult reum interfuisse h. m. Quamquam enim, si abfuisset, non idem periculum subiret. qui enim superstes (λειφθεὶς lego pro ληφθεὶς) servus illum argueret? tamen facinus minus processisset. (post πράσσειν intelligendum est ἔμελλε) nemo enim præsentium ministrorum cædis non tardior ad facinus fuisset. Hanc esse sententiam h. l. patet ex iis, quæ reus respondet. GESNER. Respicit Gesnerus ad Or. V. c. 33. Nos certe putamus interrogationem etiam posteriorem ἐμφατικωτέραν esse priorique convenientiorem. HAUPTM.

Κινδυνεύειν] Malim in futuro κινδυνεύσειν. REISK.

Πᾶς γὰρ —] Dedi πᾶς ex correctione vel certissima v. d. Bekkeri. cfr. p. 54. v. 1.

Αὐτῶν] Homicidarum, qui mercede redemti facinus manibus patrarint. REISK.

Ἧσσον πράσσειν] Bene si habet, subaudiri debet, ex præmisso ἔμελλε versu 11., ἔμελλον. ego tamen arbitror addendum illud potius esse. Quicquid autem ejus est, sive addatur ἔμελλον, sive solummodo subaudiatur, penes me certum est, post οὐδεὶς addendum esse γὰρ, et subaudiendum ἦν, τούτου γενομένου, seu ἀπόντος σοῦ.

τῶν παρόντων οὐκ ἂν ὀκνηρότερος εἰς τὴν πρᾶξιν ἦν. ὡς δ' οὐκ ἐλάσσω ἀλλὰ πολὺ μείζω τὸν ἀπὸ τῆς γραφῆς κίνδυ-
νον ἢ τόνδε ἡγεῖτο εἶναι, διδάξω. τὸ μὲν ἁλῶναι καὶ ἀπο- 645
φυγεῖν ἀμφοτέρας τὰς διώξεις ἐν ἴσαις ἐλπίσι θῶμεν αὐτῷ εἶναι· μὴ παραχθῆναι δὲ τὴν γραφὴν οὐδεμίαν ἐλπίδα γ' εἶχε τούτου ζῶντος· οὐ γὰρ ἂν ἐπείθετο αὐτῷ· εἰς δὲ τόνδε τὸν κίνδυνον ἥξειν οὐκ ἤλπισε· λήσειν γὰρ ἐδόκει ἀποκτείνας αὐτόν. ἀξιῶν δὲ διὰ τὸ φανερὰν εἶναι τὴν ὑποψίαν αὐτῷ μὴ καταδοκεῖσθαι ὑφ' ὑμῶν, οὐκ ὀρθῶς ἀξιοῖ. οὐ γὰρ τοῦτον ἐν τοῖς μεγίστοις κινδύνοις ὄντα ἱκανὴ ἦν ἡ ὑπο-
ψία ἀποστρέψαι τῆς ἐπιθέσεως. οὐδεὶς γὰρ ἐπεβούλευσεν 646

Sin autem tu patrationi cædis a te comparatæ haud interfuisses, minus erat sperandum illos tuos sicarios eam esse cædem patraturos, cujus causa tu eos redemisses. Hoc enim facto, id est, si tu minus adfuisses, et in ipso facinore minus esses versatus, neque id rexisses, ut instigator et moderator, nemo non eorum fuisset ad facinus segnior et torpidior, et metui plus, quam tu velles, serviens. Idem.

Τῆς γραφῆς] Scil. τῆς ἱεροσυλίας, vel τῆς τῶν ἱερῶν χρημάτων κλοπῆς. Idem.

Τόνδε] Scil. τὸν περὶ τοῦ φόνου. v. p. 117. 16. ed. Steph. Idem.

Τὸ μὲν] Num addendum γάρ; Idem.

Παραχρῆναι] Pro παραχρῆναι legendum puto ἐπαχθῆναι τὴν γραφήν. quæ formula solennis est. quam facilis sit τῆς παρὰ et ἐπὶ confusio non obscurum est iis, qui scripturæ veteris aliquam notitiam habent. ρ autem in θ mutari, præsertim in MSS. non minus facile potuit. Nos solum ausi sumus, nullius hic, aut difficillimi sensus παραχρῆναι, in παραχθῆναι, similiter facilis, mutare. Hauptm.

Παραχρῆναι] Scaliger malebat παραχθῆναι. quod tantisper probabimus, donec melius aliquid inveniatur, quod inveniri vix posse videtur. Nulla spes ei [reo] erat, fore, donec ille adhuc superesset, qui nunc peremtus est, ut actio de peculatu sacrorum in forum minus induceretur. παράγειν γραφὴν [subaudi εἰς τὸ δικαστήριον] tametsi dictio est minus usitata, (ego equidem nunc non commemini eam usquam reperisse) proba tamen esse videtur. producere ad tribunal causam, inferre in forum. Reisk.

Οὐ γὰρ ἂν ἐπείθετο αὐτῷ] Peremtus enim reo morem haud videtur gesturus fuisse, etiamsi illum hic rogasset, ut vellet actionem illam de sacrilegio sibi remittere. Subaudi, εἰ καὶ ἐδεῖτο ὁ νῦν ὑπ' ἐμοῦ κατηγορηθεὶς τοῦ φονευθέντος, ἀνεῖναι αὐτῷ τὴν γραφήν. Idem.

Τόνδε τὸν κίνδυνον] Accusationem puta de cæde. Idem.

Ὑποψίαν αὐτῷ] Sententia hæc est. Eo titulo si postulat a vobis absolvi sceleris imputatione, quod liquidum atque perspicuum sibi fuisset, si hic homo occideretur, in alium neminem, quam in semet, incursuram esse suspicionem: (unde consequatur, sedulo se fuisse cauturum, ne qui locus ejusmodi suspicioni adversæ aperiatur, manusque ab isto cohibiturum). Idem.

Οὐ γὰρ τοῦτον—] Malim εἰ γὰρ - - - ἐπιθέσεως, οὐδείς γ' ἂν ἐπεβουλ. Nam si formido suspicionis in se incubituræ hunc avertere tum potuisset, cum ei extrema discrimina de vita fortunisque ob sacrilegii crimen amittendis imminerent, nemo certe alius hujus peremti vitæ fuisset insidiatus. Sed peremtus est. Ergo hic peremit. nam nemo alius libidine tollendi ejus tentari potuit, præter hunc. Idem.

Ἐπιθέσεως] Hic etiam Bayerus * signum defectus ponit, invito codice. Gesnerus observat *nihil abesse, neque corruptum esse puto.* κατ' ἄνθρωπον argumentatur auctor, vel potius ad absurdum deducit reum hoc modo. Si suspicionis metus illum potuit a conatu sceleris revocare, qui per scelus periculo se liberare potuit, multo magis alios quosque revocare potuit. Ita vero nemo omnium insidias ei fecisse existimandus est. Quomodo enim fieri potuit, ut quis eorum, qui in minori periculo erant, si magis, quam ipsum periculum, suspicionem metuebant, minoris, quam ipse reus, illam faceret, αὐτὴν pro αὐτῷ. Si igitur vera est ratio rei, nemo omnino scelus, de quo quæritur, perpetravit. Hauptm.

αὐτῷ. [1]πᾶς γὰρ ἄν τις τῶν ἧσσον κινδυνευόντων, τὴν ὑπο-
ψίαν μᾶλλον τοῦ κινδύνου φοβούμενος, ἧσσον ἢ οὗτος ἡγεῖτο
αὐτῷ. αἱ δ' εἰσφοραὶ καὶ χορηγίαι ἱκανὸν μὲν εὐδαιμονίας
σημεῖόν ἐστι, τοῦ δὲ μὴ ἀποκτεῖναι τἀναντία. περὶ γὰρ
αὐτῆς τῆς εὐδαιμονίας τρέμων μὴ ἀποστερηθῇ, εἰκότως μὲν,
647 ἀνοσίως δὲ, ἀπέκτεινε τὸν ἄνδρα. φάσκων δὲ οὐ τοὺς εἰκό-
τως ἀλλὰ [2]τοὺς ἀποκτείναντας φονέας εἶναι, περὶ μὲν
τῶν ἀποκτεινάντων ὀρθῶς λέγει, εἴπερ ἐγένετο φανερὸν
ἡμῖν τίνες ἦσαν οἱ ἀποκτείναντες αὐτόν· μὴ δεδηλωμένων
δὲ τῶν ἀποκτεινάντων, ὑπὸ τῶν εἰκότων ἐλεγχόμενος, οὗτος
ἂν, καὶ οὐδεὶς ἕτερος, ἀποκτείνας αὐτὸν εἴη. οὐ γὰρ ἐπὶ 119. 1
μαρτύρων ἀλλὰ κρυπτόμενα πράσσεται ταῦτα. Οὕτω δὲ
φανερῶς ἐκ τῆς αὐτοῦ ἀπολογίας ἐλεγχθεὶς διαφθείρας
αὐτὸν, οὐδὲν ἕτερον ὑμῶν δεῖται ἢ τὴν αὐτοῦ μιαρίαν εἰς
ὑμᾶς αὐτοὺς ἐκτρέψαι. ἡμεῖς δὲ ὑμῶν δεόμεθα μὲν οὐδὲν,
λέγομεν δ' ὑμῖν, εἰ μήτε ἐκ τῶν εἰκότων μήτε ἐκ τῶν
μαρτυρουμένων οὗτος νῦν ἐλέγχεται, οὐκ ἔστιν ἔτι τῶν
648 [3]διωκομένων ἔλεγχος οὐδείς. ἀδίκως δ' ἀπολυομένου τούτου

[1] πῶς   [2] τοὺς * ὄντως ἀποκτείν.   [3] δοκουμένων

Πᾶς γὰρ —] Fateor hanc sententiam mihi prorsus inexplicabilem esse, et meram caliginem. nihil hic cerno. deesse aliquid certum est. quidnam autem desit, haud liquet. Sententia interim, saltim tolerabilis quædam et non abhorrens, hæc ferme subjicit: πᾶς [non πῶς] γὰρ — ἧσσον, ἢ οὗτος, ἐπιθετέον [vel ἐπιβουλευτέον, vel ἐπιχειρητέον] εἶναι ἡγεῖτο αὐτῷ. quicunque enim alius, cui minus ab hoc peremto periculum immineret, quam huic reo imminebat, hoc minus existimasset sibi convenire, ut vitæ ejus insidiaretur, quia suspicionem cædis in se incubituram magis metuisset, quam discrimen litis forensis cum hoc adversario [nunc peremto] suscipiendæ, [si diutius supervixisset]. Reisk.

Ἐστὶ] Fort. εἰσί. Hauptm. Imo vero εἰσί. Reisk.

Τἀναντία] Adverbialiter, pro τοὐναντίον. quidnam autem est contrarium τοῦ σημεῖον εἶναι? scil. τὸ μὴ εἶναι σημεῖον. Sententia igitur est. Contributionum magnitudo et splendor munerum editorum, testantur quidem de opum amplitudine, indicio autem nequaquam sunt cædem ab aliquo commissam non esse. Alius dixisset οὐκ ἔτι, scil. σημεῖον εἰσί. [τἀναντία etiam sic potest accipi, ut æquipolleat τῇ πενίᾳ. ἡ δὲ πενία καὶ ἡ ταπεινότης καὶ ἡ ἐλεεινότης σημεῖόν ἐστι τοῦ μὴ ἀποκτεῖναι. Reus si pauper esset, egenus, nudus, miser, obscurus, contemptus, posset ex eo colligi, vel doceri, cædem ab eo peractam non esse. Res amplitudini et splendori fortunarum contrariæ possent innocentiam ejus indicare. *Access. ad sua Antiph.*] Idem.

Περὶ γὰρ αὐτῆς —] Sententia, detractis argutiis sophisticis, hæc est. Summa probabilitas est hominem de opulentia sua trepidantem, ne ea privetur, facinus impium commisisse, h. e. hominem, de cujus nece nunc quæritur, sustulisse. Idem.

Εἰκότως μὲν, ἀνοσίως δὲ] Jam supra p. 49. v. 2. notavi hunc verborum ordinem, non illum utique mori loquendi, et seriei cogitationum usitatæ convenientem. alius quicunque ordinem istum, ut planiorem et lucidiorem prætulisset: ἀνοσίως μὲν, εἰκότως δέ. fuisset hunc peremturus. quod facinus tametsi est impium, consentaneum tamen erat id ab ejusmodi homine proficisci et exspectari. Idem.

Λέγει] Malim λέγοι. dicturus sit. Idem.

Δεῖται] Subaudi δεόμενος ὑμῶν αὐτὸν ἀφιέναι, (vel αὐτοῦ ἀποψηφίζεσθαι). rogans vos, ut se absolvatis, aliud nihil vos rogat, quam hoc, ut velitis—. Idem.

Ἐκτρέψαι] *In vos ipsos extendatis et derivetis.* Hauptm.

ὑφ᾽ ὑμῶν, ἡμῖν [1] μὲν προστρόπαιος ὁ ἀποθανὼν οὐκ ἔσται, ὑμῖν δὲ ἐνθύμιος γενήσεται· σαφῆ μὲν [2] γὰρ τὸν θάνατον γινώσκοντες, φανερῶς δὲ τὰ ἴχνη τῆς ὑποψίας εἰς τοῦτον φέροντα, πιστῶς δὲ τοῦ ἀκολούθου μαρτυροῦντος, πῶς ἂν δικαίως ἀπολύοιτε αὐτόν; ταῦτα οὖν εἰδότες βοηθεῖτε μὲν τῷ ἀποθανόντι, τιμωρεῖσθε δὲ τὸν ἀποκτείναντα, ἁγνεύετε δὲ τὴν πόλιν. τρία γὰρ ἀγαθὰ πράξετε· ἐλάσσους μὲν τοὺς ἐπιβουλεύοντας καταστήσετε, πλείους δὲ τοὺς τὴν εὐσέβειαν ἐπιτηδεύοντας, ἀπολύεσθε δ᾽ αὐτοὶ τῆς ὑπὲρ τούτου μιαρίας.

δ. ΕΞΑΠΟΛΟΓΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

ΥΠΟΘΕΣΙΣ.

ΙΔΟΥ, φησὶν, ἐγὼ καὶ ἡ ἀτυχία μου. δεικτικῶς δὲ λέγει, ἑαυτὸν αἰνιττόμενος. οὗτος, φησὶν, ἐγὼ παραδίδωμι ἐμαυτὸν καὶ τῇ ἀτυχίᾳ μου καὶ τῇ τούτων κακουργίᾳ. τεκμήριον δὲ τοῦ μὴ πεποιηκέναι τίθησιν ὁ ἀπολογούμενος τὸ μηδαμοῦ προελθεῖν ἐκείνης τῆς νυκτὸς, καὶ περὶ 649
τούτου πάντας τοὺς παῖδας εἰς βάσανον παραδίδωσιν.

ΙΔΟΥ ἐγὼ τῇ τε ἀτυχίᾳ, ἣν οὐ δικαίως αἰτιῶμαι, ὡς οὗτοί φασιν, ἑκὼν ἐμαυτὸν ἐγχειρίζω, τῇ τε τούτων ἔχθρᾳ, δεδιὼς μὲν τὸ μέγεθος τῆς διαβολῆς αὐτῶν, πιστεύων δὲ τῇ ὑμετέρᾳ γνώμῃ, τῇ τε ἀληθείᾳ τῶν ἐξ ἐμοῦ πραχθέντων. ἀποστερούμενος δὲ ὑπ᾽ αὐτῶν μηδὲ τὰς παρούσας 650

[1] Deest μέν. [2] γὰρ] οὖν

Ἁγνεύετε τὴν πόλιν] Harpocr. hanc locutionem allegat ex Antiphontis ἀληθείας δευτέρῳ p. m. 107, sq. collatis notis. IDEM.

Ἀγαθὰ] Subaudi ἐν ταὐτῷ. REISK.

Ἀπολύεσθε] Π. ἀπολυθήσεσθε. H. STEPHAN. Stephano assentior ἀπολυθήσεσθε sufficienti. REISK.

Ὑπὲρ τούτου] Subaudi ἀνειλημμένης. piaculo ob hunc hominem et per ejus occasionem a vobis suscepto, vel suscipiendo. IDEM.

δ. Ἀδικίᾳ] Præstabit ἀτυχίᾳ, et auctor argumenti confirmat: hanc enim accusator a reo legitime culpari negavit. HAUPTM.

Ἀδικίᾳ] Π. ἀτυχίᾳ. H. STEPHAN.

Ἣν οὐ δικαίως —] Sententia est: quam Infelicitatem accusans ego, vel, de qua querens, non recte facio, sed injuriam Deæ offero, si hos audio, meos accusatores, vel, si vera nempe sunt ea, quæ hi dictitant. Respicit ad initium orationis proximæ superioris, ἡ Ἀτυχία ἀδικεῖται ὑπ᾽ αὐτοῦ. *Numen Infelicitatis hic violat calumniæ suæ iniquitate.* Convenit isti, quod hic legitur. Inimici mei me aiunt Infelicitati injuriam facere quæstuum iniquitate. REISK.

Ὑμετέρᾳ] Vestra benevolentia, humanitate et æquitate. Sic dedi de meo, pro vulgari ἡμετέρᾳ. IDEM.

Ἡμετέρᾳ] Malim ὑμετέρᾳ. HAUPTM.

Ἀλήθεια τῶν πραχθέντων] Est, non modo orationis et expositionis de rebus gestis cum earum veritate consensus, sed etiam illarum ipsarum probabilitas, h. e. ea natura, ut æquo cuique approbari possint, atque ut recte factæ defendi. REISK.

Μηδὲ τὰς —] Haud deerunt quidem,

ἀτυχίας ἀνακλαύσασθαι πρὸς ὑμᾶς, ἀπορῶ εἰς ἥντινα ἄλλην σωτηρίαν χρή με καταφυγεῖν. καινότατα γὰρ [1] δὴ— εἰ χρὴ καινότατα μᾶλλον ἢ κακουργότατα εἰπεῖν — διαβάλλουσί με. κατήγοροι γὰρ καὶ τιμωροὶ φόνου προσποιούμενοι εἶναι, ὑπεραπολογούμενοι τῆς ὑποψίας πάσης τῆς ἀληθοῦς, διὰ τὴν ἀπορίαν τοῦ ἀποκτείναντος αὐτὸν ἐμὲ φονέα φασὶν εἶναι· δρῶντες δὲ τἀναντία ὧν προστέτακται
651 αὐτοῖς, φανερὸν ὅτι ἀδίκως ἐμὲ μᾶλλον ἀποκτεῖναι ζητοῦσιν ἢ τὸν φονέα τιμωρεῖσθαι. ἐμὲ δὲ προσῆκεν οὐδὲν ἄλλο ἢ πρὸς τὴν μαρτυρίαν τοῦ ἀκολούθου ἀπολογηθῆναι· οὐ γὰρ μηνυτὴς οὐδ' [2] ἐλεγκτὴρ τῶν ἀποκτεινάντων εἰμὶ, ἀλλὰ διωκόμενος ἀποκρίνομαι. ὅμως δὲ περιεργαστέον, ἵνα ἐκ παντὸς τρόπου τούτους τε ἐπιβουλεύοντάς μοι ἐμαυτόν τε ἀπολυόμενον ἐπιδείξω τῆς ὑποψίας. Τὴν μὲν οὖν ἀτυχίαν, ᾗ με διαβάλλουσιν, εἰς εὐτυχίαν αἰτοῦμαι μεταστῆναι· ἀξιῶ δ' ὑμᾶς ἀπολύσαντάς με μακαρίσαι μᾶλλον

[1] Deest δή. [2] ἐλεγκτὴς

qui dictionem hanc ex eo defensum eant, quod Græci soleant, etiamsi infitiari rem velint, tamen verba infitiantia cumulare, neque id impediat, quominus oratio sit infitians. Ego tamen hanc rationem nimis duram censens atque impeditam, malim sic legi: *ἀποστερούμενος δὲ ὑπ' αὐτῶν παῤῥησίας, ὥστε μηδὲ τὰς π. ἀ. ἀνακλαύσασθαι* [subaudi *δύνασθαι*]. ego vero ab his libertate atque fiducia loquendi privatus, ut ne lamentari quidem præsentes meas adversitates queam. Idem.

Ὑπεραπολογούμενοι —] Patrocinium suspicionis agentes, h. e. e suspicione, qua premor, extorquere hoc conantes, me homicidam reapse esse. Verum videtur hic loci aliquid deesse post *ὑποψίας*. e. c. *ἀποπλανηθέντες* vel *διαμαρτόντες*. ut sententia sit: quoniam a vera sede suspicionis aberrarunt. *ἀποπλανᾶσθαι τῆς ἀληθοῦς ὑποψίας*, est, suspicione sua non in verum facinoris auctorem deferri, sed in alium quemcunque insontem et culpæ expertem incurrere. Idem.

Τῆς ἀληθοῦς] Sententia hæc est: removent accusatores studiose suspicionem justam, et causam pro illis dicunt, in quos ea conveniret, ut me reum peragere cædis eo nomine possint, quod nemo sit, ad quem ea suspicio pertineat. Gesner.

Προστέτακται] Accusatores ergo hujus rei a rep. constituti fuerant, jussique, nomine et loco totius populi in cædis hujus auctores inquirere, eosque indagatos in judicium adducere atque reos peragere. Fiscales, ut usurpamus, seu syndici reipublicæ erant, auctoritate senatus et populi constituti. Reisk.

Προσῆκεν] Malim *προσῆκε μὲν*, ob insequens versu 12. *ὅμως δὲ περιεργαστέον*. tametsi non tenebar ad ullum aliud caput accusationis respondere, quam ad — nihilominus tamen plus præstabo, quam debebam. Idem.

Ἐλεγκτὴς] Gesnerus adscripsit, *pro ἐλεγκτὴ lego ἐλεγκτὴς, licet adhuc non agnoscant illud vocabulum eorum indices*, sed idem jam recepit Hanoviensis. Hauptm.

Εἰς εὐτυχίαν αἰτοῦμαι —] Simplex et vera h. l. interpretatio hæc est: Rogo numen Infelicitatis, e cujus iracundia in me sæviente hi mihi invidiam conflatum eunt, ut naturam suam mutare, h. e. partes suas cum partibus Felicitatis permutare velit. *μεταστῆναι* bene habet. opponit enim sophista inter se ista duo, *τὴν Ἀτυχίαν*, quæ numen est, et *ὑμᾶς*, judices. Reisk.

Μακαρίσαι] Fert quidem ratio vocabuli, ut, non illo vulgari significatu, *beatum aliquem prædicandi*, sed eo, quem sententia loci subjicit, *beatum reddendi*, accipiatur. quominus autem h. l. sic accipiatur, obstat insequens *ἐλεῆσαι*. Foret utique convenientius, si sic protulisset: *ἀπολύσαντάς με μακαριστὸν ποιῆσαι μᾶλλον, ἢ καταλαβόντας ἐλεεινόν*. Idem.

Ἐλεῆσαι] Audebo enimvero, tametsi timidus, conjecturam proponere, quæ, si

ἢ καταλαβόντας ἐλεῆσαι. φασὶ δὲ τῶν μὲν ἐντυχόντων
παιομένοις αὐτοῖς οὐδένα ὅντινα οὐκ εἰκότερον εἶναι σαφῶς 652
πυθόμενον τοὺς διαφθείραντας αὐτοὺς εἰς οἶκον ἀγγεῖλαι,
ἢ ἀπολιπόντας οἴχεσθαι. ἐγὼ δὲ οὐδένα οὕτω θερμὸν καὶ
ἀνδρεῖον ἄνθρωπον εἶναι δοκῶ, ὅντινα οὐκ ἂν ἀωρὶ τῆς νυκτὸς
νεκροῖς ἀσπαίρουσι συντυχόντα πάλιν ὑποστρέψαντα φεύ-
γειν μᾶλλον ἢ πυνθανόμενον τοὺς κακούργους [1] περὶ τῆς
ψυχῆς κινδυνεῦσαι. τούτων δὲ μᾶλλον ἃ εἰκὸς ἦν δρασάν- 653
των, οἱ μὲν ἐπὶ τοῖς ἱματίοις διαφθείραντες αὐτοὺς οὐκ ἂν
ἔτι εἰκότως ἀφίοιντο· ἐγὼ δὲ ἀπήλλαγμαι τῆς ὑποψίας.
εἰ δὲ ἐκηρύσσοντο ἢ μὴ ἄλλοι τινὲς κακοῦργοι ἅμα τῷ
τούτων φόνῳ, τίς οἶδεν; οὐδενὶ γὰρ ἐπιμελὲς ἦν σκοπεῖν
ταῦτα. ἀφανοῦς δὲ ὄντος τοῦ κηρύγματος, οὐδὲ ὑπὸ τούτων
120. 1 τῶν κακούργων ἄπιστον διαφθαρῆναι αὐτόν. τοῦ δὲ θερά-

[1] Deest περί.

probetur, hujus loci salebras facillimo negotio, unius literulæ commutatione, complanare possit. Mutemus η cum ι. quas ambas literas in codd. mstis Græcis inter se sæpissime permutari, res est in vulgum nota. prodibit ἐλεΐσαι. *miserabilem reddere.* id quod sententiæ loci apprime convenit. Sed negabis verbum Græcum esse ἐλεΐζειν. fateor equidem id alibi locorum nusquam reperiri. verumtamen analogia non repugnat, et sententia loci id plane flagitat. Reisk.

Εὐτυχούντων] Π. ἐντυχόντων π. οὐδ. ὄντ. οὐκ εἰκ. ε. σ. πυθόμενον. et v. 6. ἀσπαίρουσι. H. Stephan.

Εὐτυχούντων] Vix dubitem rescribere ἐντυχόντων, *si quis cædi huic forte supervenerit.* Paulo post in eadem re συντυχόντα dicitur. Gesner. Neque nos ita mutare dubitamus, quum et Miniatus, licet in contextu Græco nil mutans, ita verterit. Hauptm.

Αὐτοῖς] Hero et servo peremtis. Reisk.

Εἰκότερον] Scaliger, si is fuit, fertur οἰκειότερον adscripsisse. quod si fecit, aliud egit, neque satis ad sententiam loci attendit, quæ hæc est: multo esse probabilius, ut quicunque intervenisset, dum illi duo, herus et servus, jugularentur, ad domum eorum recurreret, et ad domesticos de facta cæde ejusque auctoribus renunciaret, quam ut, relictis jacentibus, viam suam prosequeretur. idem est ac si dixisset: μᾶλλον εἰκὸς εἶναι, πάντας τοὺς ἐντυχόντας αὐτοῖς ἐν ᾧ ἐπαίοντο [hoc est ἐφονεύοντο] εἰς τὸν οἶκον αὐτῶν ἀπαγγεῖλαι τὸν φόνον μετὰ τὸ σαφῶς πυθέσθαι τοὺς ἀνδροφόνους, ἢ ἀπολιπεῖν αὐτοὺς κειμένους καὶ οἴχεσθαι. Idem.

Ἀπολιπόντας] Gesnerus mavult ἀπολιπόντα, ut ad οὐδένα πειθόμενον referatur: sed exponi potest, *tantum abest, ut omnes, iis desertis, abierint.* Hauptm. Ἀπολιπόντα malim. Reisk.

Τῆς ψυχῆς κινδυνεῦσαι] Gemino modo potest aliquis ex ejusmodi causa in vitæ discrimen incurrere; sive ab ipsis sicariis, sive postmodum ab amicis peremti. Non enim videntur sicarii passuri esse, ut supersit facinoris sui testis et index, sed una cum occiso eum quoque de medio sublaturi. Aut cognati hominis occisi possunt nuncium cædis ipsum in suspicionem criminis conjicere, eique hoc nomine diem dicere. Idem.

Τούτων] Quo redeat, dubium est, ad latronesne, an ad judices. Si ad latrones, ea est sententia, quam in Latina mea reliquiarum Antiphontis interpretatione reddidi. Sin autem ad judices referatur, erit sententia istæc: Hi judices si id potius facient, quod eos facere par est, et eorum personas decet, quam ut obsecundent adversariis meis, iniqua postulantibus, absolvar omni suspicione. nam, primo loco, causa mihi nulla fuit eum vestium gratia perimendi. neque enim egenus, neque nudus sum. Secundo, infirmum est adversarii argumentum de cædis promulgatione, voce præconis facta. Collegerat ille sic: Latrones si cædem commisissent, præco eam publice indicasset, et indici præmium condixisset. Quod factum non est. Ergo latrones eum non occiderunt. Respondet defensor: ecquis pro certo novit, hujusmodi præconium factum esse, an minus?

ποντος πῶς χρὴ [1] πιστότερον τὴν μαρτυρίαν ἢ τῶν ἐλευθέρων
ἡγεῖσθαι; οἱ μὲν γὰρ ἀτιμοῦνταί τε καὶ χρήμασι ζη-
654 μιοῦνται, ἐὰν μὴ τἀληθῆ δοκῶσι μαρτυρῆσαι· ὁ δὲ οὐκ
ἔλεγχον παρασχὼν οὐδὲ βάσανον οὐ δίκην δώσει, εἴ τις
ἔλεγχος ἔσται. ἀκινδύνως τε οὗτός γε μέλλων μαρτυρεῖν,
οὐδὲν θαυμαστὸν [2] ἔπαθεν ὑπὸ τῶν κυρίων ἐχθρῶν μοι
ὄντων πεισθεὶς [3] καταψεύδεσθαί μου· ἐγώ τε ἀνόσι' ἂν
πάσχοιμι, εἰ μὴ πιστῶς καταμαρτυρηθεὶς διαφθαρείην
ὑφ' ὑμῶν. μὴ παραγενέσθαι δέ με τῷ φόνῳ ἀπιστότερον ἢ
παραγενέσθαι φασὶν εἶναι· ἐγὼ δ' οὐκ ἐκ τῶν εἰκότων
ἀλλ' ἔργῳ δηλώσω οὐ παραγενόμενος. ὁπόσοι γὰρ δοῦλοι ἢ
δοῦλαί μοι εἰσὶ, πάντας παραδίδωμι βασανίσαι· καὶ ἐὰν
μὴ φανῶ ταύτῃ τῇ νυκτὶ ἐν οἴκῳ καθεύδων, ἢ ἐξελθών
655 [4] που, ὁμολογῶ φονεὺς εἶναι. ἡ δὲ νὺξ οὐκ ἄσημος· τοῖς
γὰρ Διϊπολίοις ὁ ἀνὴρ ἀπέθανε. περὶ δὲ τῆς εὐδαιμονίας,
ἧς ἕνεκα τρέμοντά με φασὶν εἰκότως ἀποκτεῖναι αὐτὸν, πολὺ
τἀναντία ἐστί. τοῖς γὰρ ἀτυχοῦσι νεωτερίζειν συμφέρει·
ἐκ γὰρ τῶν μεταβολῶν ἐπίδοξος ἡ δυσπραγία μεταβάλλειν
αὐτῶν ἐστί· τοῖς δ' εὐτυχοῦσιν ἀτρεμίζειν καὶ [5] φυλάσσειν
τὴν παροῦσαν εὐπραγίαν. μεθισταμένων [6] δὲ τῶν [7] πρα-
γματειῶν δυστυχεῖς ἐξ εὐτυχούντων καθίστανται. ἐκ δὲ
τῶν εἰκότων προσποιούμενοί με ἐλέγχειν, οὐκ εἰκότως
ἀλλ' ὄντως φονέα με φασὶ τοῦ ἀνδρὸς εἶναι. τὰ δὲ εἰκότα

[1] * πιστοτέραν [2] ἔπαθεν, εἰ ὑπὸ [3] καταψεύδεται [4] * ποι [5] φυλάττειν [6] δὲ] * γὰρ [7] πραγμάτων

ecquis enim huic rei animum attendit? Cfr. supra p. 31. v. 13. Idem.

Τῶν ἐλευθέρων] Sed quinam sunt hi liberi, vel ingenui, qui pro reo testati essent. Ubi eorum facta est in superioribus mentio? Multa sunt in his controversiis non satis inter se congruentia: occursiones criminationibus non ad amussim ubique respondent, et passim locorum refutantur ea, quæ antea exprobata et inousata non fuissent. Ergone loci nonnulli desunt accusatoriis orationibus? Ferme venias in eam suspicionem. Docere vult h. l. reus, gravius esse debere ingenuorum testimonium, quam servorum, quoniam illos, quam hos, graviores pœnæ falsitatis in testimoniis dicendis admissæ maneant. Idem.

Οὐ δίκην δώσει, εἴ τις ἔλεγχος ἔσται] Impervia hæc mihi sunt. Num ergo sic leg. ποῦ δίκην δώσει; τίς ἔλεγχος ἔσται; ubinam dabit pœnas? ecquæ erit convictio? facile potuit εἰ e fine vocabuli δώσει perperam iterari. aut poterit ἢ suffici in illius εἰ locum. Idem.

Ἀκινδύνως τε] Malim δέ. Idem.

Γε] Malim τε, cui respondebit proximum τε in illis ἐγώ τε ἀνόσια. Idem.

Ἔπαθεν ὑπὸ] Π. ἔπαθεν εἰ ὑπὸ etc. H. Stephan.

Διϊπολίοις] Vid. Meurs. Græc. Fer. l. ii. p. 94. v. Διϊπόλια.

Πολὺ τἀναντία ἐστὶ] Id est, πᾶν τοὐναντίον ἀληθές ἐστιν ὧν οὗτοι φασί. Reisk.

Αὐτῶν] Malim αὐτοῖς, quod aut cum ἐπίδοξος, aut cum μεταβαλεῖν cohærebit. Nam hoc prætulerim equidem vulgari μεταβάλλειν. Idem.

Πραγματειῶν] Π. πραγμάτων. H. Stephan.

ἀλλὰ πρὸς ἐμοῦ μᾶλλον ἀποδέδεικται [1] ὄντα. ὅ τε γὰρ
καταμαρτυρῶν μου ἄπιστος ἐλήλεγκται ὢν, ὅ τε ἔλεγχος 656
οὐκ ἔστι· τά τε τεκμήρια ἐμὰ, οὐ τούτου, ὄντα ἐδήλωσα·
τά τε ἴχνη τοῦ φόνου οὐκ εἰς ἐμὲ φέροντα ἀλλ᾽ εἰς τοὺς
ἀπολυομένους ἀποδέδεικται ὑπ᾽ αὐτῶν. πάντων δὲ τῶν κα-
τηγορηθέντων ἀπίστων ἐλεγχθέντων, οὐκ, ἐὰν ἀποφύγω,
οὐκ ἔστιν ἐξ ὧν ἐλεγχθήσονται οἱ κακουργοῦντες· ἀλλ᾽,
ἐὰν ἐλεγχθῶ, οὐδεμία ἀπολογία τοῖς διωκομένοις ἀρκοῦσά
ἐστιν. Οὕτω δὲ ἀδίκως διώκοντές με αὐτοὶ μὲν ἀνοσίως
ἀποκτεῖναι ζητοῦντες καθαροὶ φασὶν εἶναι· ἐμὲ δὲ, ὃς εὐ-
σεβεῖν ὑμᾶς πείθω, ἀνόσια δρᾷν λέγουσιν. ἐγὼ δὲ, κα-
θαρὸς ὢν πάντων τῶν ἐγκλημάτων, ὑπὲρ ἐμαυτοῦ ἐπι-
σκήπτω αἰδεῖσθαι τὴν τῶν μηδὲν ἀδικούντων εὐσέβειαν,
ὑπὲρ δὲ τοῦ ἀποθανόντος ἀναμιμνήσκων τὴν ποινὴν παραινῶ 657
ὑμῖν μὴ τὸν ἀναίτιον καταλαβόντας τὸν αἴτιον ἀφεῖναι·
ἀποθανόντος γὰρ ἐμοῦ, οὐδεὶς ἔτι τὸν αἴτιον ζητήσει.
ταῦτα οὖν σεβόμενοι ὁσίως καὶ δικαίως ἀπολύετέ με, καὶ
μὴ μετανοήσαντες τὴν ἁμαρτίαν γνῶτε· ἀνίατος γὰρ ἡ
μετάνοια τῶν τοιούτων ἐστίν.

[1] Deest ὄντα.

Οὐκ ἔστι] Id est, οὐδεὶς γέγονεν. examen locum non habuit. nullum evenit. Paulo ante dixerat τις ἔλεγχος ἔσται. Reisk.

Ἐμὰ] Mihi favent, mecum faciunt. rarior inventu dictio, τεκμήριον ἐστὶν ἐμὸν, pro πρὸς ἐμοῦ. Idem.

Οὐκ, ἐὰν ἀποφύγω, οὐκ ἔστιν] Idem est ac si dixisset: οὐ διὰ τὸ ἐμὲ ἀπολύεσθαι [vel οὐ διὰ τὴν ἐμὴν ἀπόλυσιν] ἀνήρηται πᾶς ἔλεγχος τῶν κακουργούντων. vel οὐκ ἔστιν εἰπεῖν, ὅτι, ἐὰν ἐγὼ ἀποφύγω, οὐκ ἔσται εἰς ὕστερον ἐλέγχειν τοὺς κακουργοῦντας. Idem.

Τοῖς διωκομένοις] Num ἀδίκως interponendum est? Idem.

Δυσέβειαν] Π. εὐσέβειαν. H. Stephan.

Αἰδεῖσθαι τὴν τῶν μηδὲν ἀδικούντων εὐσέβειαν, pudore et reverentia duci pietatis justorum, est, non committere, ut pii justitiæque dediti homines lædantur. nam pios dii caros habent; et diis caros qui lædit, is deorum iram sibi consciscit. Reisk.

Ποινὴν] Furiam vindicem cruoris inulto effusi, non quieturam illam, donec pœnas ejus per eorum clades et supplicia repetierit, penes quos ille cruor effusus sit, et sinatur inultus manare. Idem.

ΑΝΤΙΦΩΝΤΟΣ

ΤΕΤΡΑΛΟΓΙΑ Β.

α. ΚΑΤΗΓΟΡΙΑ ΦΟΝΟΥ ΑΚΟΥΣΙΟΥ.
β. ΑΠΟΛΟΓΙΑ ΦΟΝΟΥ ΑΚΟΥΣΙΟΥ.
γ. ΕΚΚΑΤΗΓΟΡΙΑΣ Ο ΥΣΤΕΡΟΣ.
δ. ΕΞΑΠΟΛΟΓΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

α. ΚΑΤΗΓΟΡΙΑ ΦΟΝΟΥ ΑΚΟΥΣΙΟΥ.

ΥΠΟΘΕΣΙΣ.

ΔΥΟ παῖδες ἐν γυμνασίοις ἠκόντιζον· συνέβη δὲ τὸν μὲν ἐντέχνως ἀφεῖναι τὸ βέλος, τὸν δ' ἕτερον ὑπὸ τὴν φορὰν τοῦ ἀκοντίου δραμόντα πληγῆναι. τελευτήσαντος [1] δὲ τοῦ παιδὸς, ὁ τούτου πατὴρ κατηγορεῖ τοῦ βαλόντος ὡς ἀνδροφόνου· ὁ δὲ μετατίθησι τὴν αἰτίαν τῆς πληγῆς ἐπὶ τὸν δραμόντα. ὅθεν οἱ μὲν ἀντέγκλημα τὴν στάσιν, οἱ δὲ μετάστασιν λέγουσιν.

658 ΤΑ μὲν ὁμολογούμενα τῶν πραγμάτων ὑπό τε τοῦ
νόμου κατακέκριται ὑπό τε τῶν ψηφισαμένων, οἳ κύριοι
πάσης τῆς πολιτείας εἰσίν· ἐὰν δέ τι ἀμφισβητήσιμον ᾖ,
τοῦτο ὑμῖν, ὦ ἄνδρες πολῖται, προστέτακται διαγνῶναι.
οἶμαι μὲν οὖν οὐδὲ ἀμφισβητήσειν πρὸς ἐμὲ τὸν διωκόμενον·
ὁ γὰρ παῖς μου ἐν γυμνασίῳ ἀκοντισθεὶς διὰ τῶν πλευρῶν
ὑπὸ τούτου τοῦ μειρακίου παραχρῆμα ἀπέθανεν. ἑκόντα 121. 1
μὲν οὖν οὐκ ἐπικαλῶ ἀποκτεῖναι, ἄκοντα δέ. ἐμοὶ δὲ οὐκ
ἐλάσσω τοῦ ἑκόντος ἄκων τὴν συμφορὰν κατέστησε. τῷ δὲ
659 ἀποθανόντι αὐτῷ μὲν [2] οὐδὲν ἐνθύμιον, τοῖς δὲ ζῶσι προσέ-
θηκεν. ὑμᾶς δὲ ἀξιῶ ἐλεοῦντας μὲν τὴν ἀπαιδίαν τῶν
γονέων, οἰκτείροντας δὲ τὴν ἄωρον τοῦ ἀποθανόντος τελευ-
τὴν, [3] εἵργοντας ὧν ὁ νόμος [3] εἵργει τὸν ἀποκτείναντα μὴ
περιορᾶν ἅπασαν τὴν πόλιν ὑπὸ τούτου μιαινομένην.

[1] Deest δέ. [2] Deest οὐδέν. [3] εἴργ.

ΤΕΤΡΑΛΟΓΙΑ] Hæ vocantur rectius Δευτερολογίαι ab enarratore Aphthonii p. 12. Taylor.

Αὐτῷ μὲν ἐνθύμιον] Legi posset: αὐτῷ μὲν οὐκ ἐνθύμιον. *Valckenaer. ad Herod.* l. ii. c. 175.

β. ΑΠΟΛΟΓΙΑ ΦΟΝΟΥ ΑΚΟΥΣΙΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ο ΤΟΥ ἀκοντίσαντος πατὴρ ἑαυτῷ φησὶν αἴτιον γενέσθαι τὸν ἀποθανόντα τοῦ φόνου. φερομένου γὰρ τοῦ ἀκοντίου ὑπέδραμεν ὑπὸ τὸν σκοπόν· ὅθεν ἂν αὐτὸν ἑαυτοῦ φονέα νομίζεσθαι. ἔστι δ' ἡ στάσις μετάστασις, οὐ [1] συγγνώμη ὥς τινες ἐνόμιζον.

ΝΥΝ δὴ φανερόν μοι, ὅτι αὗται αἱ συμφοραὶ καὶ χρεῖαι
τούς τε ἀπράγμονας εἰς ἀγῶνας * * * τούς τε ἡσυχίους
τολμᾶν τά τε ἄλλα παρὰ φύσιν λέγειν καὶ δρᾶν βιάζονται.
ἐγὼ γὰρ ἥκιστα τοιοῦτος ὢν καὶ βουλόμενος εἶναι, εἰ μὴ 660
πολύ γε ἔψευσμαι, ὑπ' αὐτῆς τῆς συμφορᾶς ἠναγκάσθην,
παρὰ τὸν ἄλλον τρόπον, ὑπὲρ πραγμάτων ἀπολογεῖσθαι, ὧν
ἐγὼ χαλεπῶς μὲν τὴν ἀκρίβειαν ἔγνων, ἔτι δὲ ἀπορωτέρως
διάκειμαι ὡς χρὴ ὑμῖν ἑρμηνεῦσαι ταῦτα. ὑπὸ δὲ σκληρᾶς
ἀνάγκης βιαζόμενος, καὶ αὐτὸς εἰς τὸν ὑμέτερον ἔλεον, ὦ ἄν-
δρες δικασταὶ, καταπεφευγὼς δέομαι ὑμῶν, ἐὰν ἀκριβέ-
στερον ἢ ὡς σύνηθες ὑμῖν δόξω εἰπεῖν, μὴ διὰ τὰς προει-
ρημένας τύχας ἀποδεξαμένους μου τὴν ἀπολογίαν, δόξῃ καὶ
μὴ ἀληθείᾳ τὴν κρίσιν ποιήσασθαι· ἡ μὲν γὰρ δόξα τῶν
πραχθέντων πρὸς τῶν λέγειν δυναμένων ἐστὶν, ἡ δὲ ἀλή- 661
θεια πρὸς τῶν δίκαια καὶ ὅσια πρασσόντων. Ἐδόκουν
μὲν οὖν ἔγωγε ταῦτα παιδεύων τὸν υἱὸν, ἐξ ὧν μάλιστα τὸ

[1] συγγνώμης

6. Εἰς ἀγῶνας] Adde καταστῆναι. Reisk.

Λέγειν καὶ δρᾶν] Videntur verba sic esse ordinanda δρᾶν καὶ λέγειν. eo necessitatis adigunt, ut audeant, cum alia agere, contra quam nati sint, tum etiam causas in foro agere. unus enim infinitivus τολμᾶν tegit ambos alteros ex ipso aptos δρᾶν et λέγειν. quid audent? 1) τὰ ἄλλα δρᾶν παρὰ φύσιν, alia omnia agere, a quibus natura eos fecerit alieniores. 2) λέγειν, verba facere in publico, indiserti cum sint et verecundi, et fori prorsus rudes. Idem.

Ἥκιστα] Lege οὐχ ἥκιστα, et omnia plana erunt. οὐχ ἥκιστα non minime, litotis est, seu extenuatio, plus significans, quam nuda vocabula subjiciunt. imprimis, ἐν τοῖς μάλιστα, si quis ullus alius, vel maxime. Idem.

Τοιοῦτος] H. e. ἀπράγμων καὶ ἡσύχιος. a strepitu fori, et a tumultu causarum abhorrens, et in quiete vitæ privatæ atque otiosæ delitescens. Idem.

Εἰ μὴ πολύ γε ἔψευσμαι] Si satis bene ipse memet novi. subauditur κατὰ τὴν ἐμὴν περὶ ἐμαυτοῦ ὑπόληψιν. Idem.

Ὑπ' αὐτῆς] A mera et sola calamitate, qua usus sum — nihil aliud, quam hæc, me coegit. Sic initio hujus prolusionis etiam αὐτὸς usurpaverat. Idem.

Τρόπον] Subaudi ἐμὸν, aut τοῦ ἐμοῦ βίου. Idem.

Σύνηθες] Scil. ἐμοί ἐστιν. Idem.

Ἀποδεξαμένους] Ante hoc vocabulum deesse videtur aliquod adverbium, e. c. ἀπηνῶς, aut σκληρῶς, aut τραχέως, aut simile quodpiam aliud. Constructio hæc est: μὴ ποιήσασθαι τὴν κρίσιν, κατὰ μόνην δόξαν, ἐναντίως τῇ ἀληθείᾳ, διὰ τὸ ἀποδέχεσθαι τὴν ἐμὴν ἀπολογίαν σκληρῶς. Idem.

Ἔγωγε] Post ἔγωγε deest ὀνήσεσθαι. sperabam me fructus ex eo percepturum, si filium curarem erudiri et imbui artibus illis — vel, quod curassem. Idem.

Τὸ κοινὸν] Alius dixisset τό τε κοινόν. sed

κοινὸν ὠφελεῖται, [1]ἀμφοῖν τι ἡμῖν ἀγαθὸν ἀποβήσεσθαι· συμβέβηκε δέ [2]μοι πολὺ παρὰ γνώμην τούτων. τὸ γὰρ μειράκιον οὐχ ὕβρει οὐδὲ ἀκολασίᾳ, ἀλλὰ μελετῶν μετὰ τῶν ἡλίκων ἀκοντίζειν ἐπὶ τῷ γυμνασίῳ, ἔβαλε μὲν, οὐκ ἀπέκτεινε δὲ οὐδένα κατά γε τὴν ἀλήθειαν ὧν ἔπραξεν, ἄλλου δ' εἰς αὑτὸν ἁμαρτόντος εἰς ἀκουσίους αἰτίας ἦλθεν. εἰ μὲν γὰρ τὸ ἀκόντιον ἔξω τῶν ὅρων τῆς αὑτοῦ πορείας ἐπὶ τὸν παῖδα ἐξενεχθὲν ἔτρωσεν αὐτὸν, οὐδεὶς ἡμῖν λόγος
662 ὑπελείπετο μὴ [3]φονεὺς εἶναι· τοῦ δὲ παιδὸς ὑπὸ τὴν τοῦ ἀκοντίου φορὰν ὑποδραμόντος καὶ τὸ σῶμα προστήσαντος τοῦ σκοποῦ τυχεῖν, ὁ δὲ ὑπὸ τὸ ἀκόντιον [4]ὑπελθὼν ἐβλήθη, καὶ τὴν αἰτίαν οὐχ ἡμετέραν οὖσαν προσέβαλεν ἡμῖν· διὰ δὲ τὴν ὑποδρομὴν βληθέντος τοῦ παιδὸς, τὸ μὲν μειράκιον οὐ δικαίως ἐπικαλεῖται — οὐδένα γὰρ ἔβαλε τῶν ἀπὸ [5]τοῦ σκοποῦ ἀφεστώτων —, ὁ δὲ παῖς, εἴπερ ἑστὼς φανερὸς ὑμῖν ἐστὶ μὴ βληθεὶς, ἑκουσίως ὑπὸ τὴν φορὰν τοῦ ἀκοντίου ὑπελθὼν, ἔτι σαφεστέρως δηλοῦται διὰ τὴν αὑτοῦ ἁμαρτίαν ἀποθανών· οὐ γὰρ ἂν ἐβλήθη ἀτρεμίζων καὶ μὴ διατρέχων. ἀκουσίου δὲ τοῦ φόνου ἐξ ἀμφοῖν [6]ὑμῖν ὁμολογουμένου γενέσθαι, ἐκ τῆς ἁμαρτίας ὁποτέρου αὐτῶν ἐστὶν,

[1] ἀμφοῖν τε ἡ. ἀγ. ἔμελλεν ἀποβήσεσθαι [2] Deest μοι. [3] * φονέας [4] ἐλθὼν [5] Deest τοῦ. [6] ἡμῖν

Antiphon, homo antiqui et ævi et moris, amat simplicitatem et brevitatem. Idem.

Ἡμῖν] Mihique filioque. Idem.

Τὸ γὰρ μειράκιον] Subandi τὸ ἐμόν. Idem.

Ἄλλου δ' εἰς αὑτὸν ἁμαρτόντος] Sic dedi de meo, pro vulgari ἀλλ' οὐδεὶς, αὐτοῦ ἁμαρτόντος. unicam literulam υ cum simillima ν mutavi. *ideo autem, quod alius aliquis in semetipsum deliquisset* — Idem.

Τὸν παῖδα] Παῖς in hac causa est puer occisus. τὸ μειράκιον autem est juvenculus adultior, qui illum jaculo interemit. Idem.

Φονέας] Dedi de meo (poteram quoque φονεῖς dare,) pro vulgari φονεύς. pater ipse secum filii culpam ultro communicat, eique sese innectit. Idem.

Τοῦ σκοποῦ τυχεῖν, ὁ δὲ] Si nihil hic deest, debet τοῦ non ad σκοποῦ, sed ad τυχεῖν referri; quasi sic dixisset: προστήσαντος τὸ σῶμα τοῦ τυχεῖν [scil. τὸ ἀκόντιον] τοῦ σκοποῦ. et tum δὲ erit cum τε mutandum, quod τε cum proximo καὶ respondebit. Multo tamen mihi quidem hæc præstare videtur ratio, ut pauca quædam verba post προστήσαντος suppleantur. e. c. ὁ μὲν οὐκ ἐδύνατο, vel ἐκωλύθη. alter quidem [filius meus] non poterat metam contingere, alter autem [occisus]— Idem.

Ὁ δὲ παῖς] Idem est ac si dixisset: εἰ δὲ φανερὸν ὑμῖν ἐστὶν, ὅτι ὁ παῖς οὐκ ἂν ἐβλήθη, εἴπερ ἔμεινεν ἑστὼς ἐν ᾧ εἱστήκει τόπῳ. si planum vobis atque perspicuum est, eventurum non fuisse, ut puer feriretur, si ibi loci, ubi stabat, constitisset, multo etiam liquidius elucescit, eum culpa sua perisse, eo, quod ipse semet occursui jaculi concitati obtulerit. Idem.

Γενέσθαι, ἐκ τῆς ἁμαρτίας, ὁποτέρου] Ego distinctionem mutando, effeci hanc sententiam: Ambo nos [ego et accusator] cum confiteamur [vel in hoc consentiamus] cædem utrinque evenisse involuntariam [tam a parte ferientis, quam a parte icti] ex errore; utrius ille error fuerit, [vel ab utro eorum error ille sit profectus] nil attinet quærere. Possit quoque legi: τὸ τῆς ἁμαρτίας [sc. ἔγκλημα] πρόδηλον [sub. ἐστὶν] ὁποτέρου ἐστὶν, utri amborum impu-

ἔτι δὲ σαφέστερον ὁ φονεὺς ἐλεγχθείη. οἵ τε γὰρ [1] ἁμαρτάνοντες ὧν ἂν ἐπινοήσωσί τι δρᾶσαι, οὗτοι πράκτορες τῶν ἀκουσίων εἰσίν· οἱ δὲ ἑκούσιόν τι δρῶντες ἢ πάσχοντες, οὗτοι τῶν παθημάτων αἴτιοι γίγνονται. τὸ μὲν τοίνυν μειράκιον περὶ οὐδένα ἥμαρτεν οὐδέν. οὔτε γὰρ ἀπειρημένον ἀλλὰ προστεταγμένον ἐξεμελέτα· οὔτε ἐν γυμναζομένοις ἀλλ᾽ ἐν τῇ τῶν ἀκοντιζόντων τάξει ἠκόντιζεν· οὔτε τοῦ σκοποῦ ἁμαρτὼν, εἰς τοὺς ἀφεστῶτας ἀκοντίσας, τοῦ παιδὸς ἔτυχεν, ἀλλὰ, πάντα ὀρθῶς ὡς ἐπενόει δρῶν, ἔδρασε μὲν 663 664
οὐδὲν ἀκούσιον, ἔπαθε δὲ διακωλυθεὶς τοῦ σκοποῦ τυχεῖν.

122. 1 ὁ δὲ παῖς, βουλόμενος προδραμεῖν, τοῦ χώρου διαμαρτὼν ἐν ᾧ διατρέχων οὐκ ἂν ἐπλήγη, περιέπεσεν οἷς οὐκ ἤθελεν· ἀκουσίως δὲ ἁμαρτὼν εἰς ἑαυτὸν οἰκείαις συμφοραῖς κέχρηται, τῆς δ᾽ ἁμαρτίας τετιμωρημένος ἑαυτὸν ἔχει τὴν δίκην, οὐ συνηδομένων μὲν οὐδὲ συνεθελόντων ἡμῶν, συναλγούντων δὲ καὶ συλλυπουμένων. τῆς δὲ ἁμαρτίας εἰς τοῦτο ἡκούσης, τὸ ἔργον οὐχ ἡμέτερον ἀλλὰ τοῦ ἐξαμαρτόντος ἐστί· τό τε πάθος εἰς τὸν δράσαντα ἐλθὸν ἡμᾶς μὲν ἀπολύει τῆς αἰτίας, τὸν δὲ δράσαντα δικαίως ἅμα τῇ ἁμαρτίᾳ τετιμώρηται. ἀπολύει δὲ καὶ ὁ νόμος ἡμᾶς, ᾧ πιστεύων, [2] εἴργοντι μήτε ἀδίκως μήτε δικαίως ἀποκτείνειν, ὡς φονέα με διώκει. ὑπὸ μὲν γὰρ [3] τῆς αὐτοῦ τοῦ τεθνεῶτος ἁμαρτίας ὅδε ἀπολύεται μηδὲ ἀκουσίως ἀπο-

[1] ἀφαμαρτάνοντες [2] εἴργ. [3] Deest τῆς.

landa sit culpa, paret. Potest ἐστὶν tam ad αἰτία quam ad φόνος referri. IDEM.

Ἐλεγχθείη] Subaudi οὕτως, vel ἐκ τῶνδε. IDEM.

Οἵ τε γὰρ] Imo vero οἱ μὲν γάρ: respondet enim insequens οἱ δὲ ἑκούσιον. IDEM.

Τι δρᾶσαι] Poterat illud τι abesse. si ferimus, ita debet accipi ac si sic enunciasset: οἱ μὲν γὰρ ἀφαμαρτάνοντές τινος τούτων, ἃ ἂν ἐπινοήσωσι δρᾶσαι. IDEM.

Πράκτορες]. Effectores, auctores, patratores. rarus inventu modus est, quo vocabulum hoc sophista hic loci usurpavit. nam alias πράκτωρ est exactor æris debiti. IDEM.

Εἰσὶν] Id est, νομίζονται παρὰ τοῖς ἀνθρώποις, καὶ καλοῦνται οὕτως. IDEM.

Τῶν παθημάτων] Imo vero τῶν ἑκουσίων πράξεων καὶ παθημάτων. apparet ex opposito præmisso πράκτορες τῶν ἀκουσίων εἰσίν. IDEM.

Ἐν τοῖς γυμναζομένοις] Cum articulo malim, ut conveniat ei, quod in continenti legitur τῶν ἀκοντιζόντων. IDEM.

Προδραμεῖν] Subaudi τοῦ ἀκοντίου, seu, πρὶν ἥκειν τὸ ἀκόντιον. IDEM.

Χώρου] Imo vero χρόνου, *temporis*. IDEM.

Τοῦτο] Malim τοῦτον, peremtum puta. IDEM.

Ἅμα τῇ ἁμαρτίᾳ] In illo ipso confestim temporis articulo, quo peccabat puer. IDEM.

Εἴργοντι] Antiphon hoc verbum εἴργειν raro modo usurpat, pro κωλύειν, ἀπειπεῖν, ἀπαγορεύειν, *vetare*, *intercidere*. v. p. 123, 13. 126, 12. ed. Steph. IDEM.

Γὰρ αὐτοῦ] Interpone τῆς. IDEM.

Ὅδε] Hic filius meus, adhuc superstes. IDEM.

Μηδὲ ἀκουσίως] Ne involuntariam quidem cædem commisisse, quanto minus voluntariam. IDEM.

665 κτεῖναι αὐτόν· ὑπὸ δὲ τοῦ διώκοντος οὐδ᾽ ἐπικαλούμενος ὡς
ἑκὼν ἀπέκτεινεν, ἀμφοῖν ἀπολύεται τοῖν ἐγκλημάτοιν, μήτ᾽
ἄκων μήθ᾽ ἑκὼν ἀποκτεῖναι. ἀπολυόμενος δὲ ὑπό τε τῆς
[1] ἀληθείας τῶν πραχθέντων, ὑπό τε τοῦ νόμου καθ᾽ ὃν
διώκεται, οὐδὲ τῶν ἐπιτηδευμάτων [2] εἵνεκα δίκαιοι τοιού-
των κακῶν ἀξιοῦσθαι ἐσμέν. οὗτός τε γὰρ ἀνόσια πείσεται
τὰς οὐ προσηκούσας φέρων ἁμαρτίας, ἐγώ τε μᾶλλον μὲν
οὐδὲν, ὁμοίως δὲ τούτῳ ἀναμάρτητος ὢν, εἰς [3] πολλαπλασίους
666 τούτου συμφορὰς ἥξω· ἐπί τε γὰρ τῇ τούτου διαφθορᾷ
ἀβίωτον τὸ λειπόμενον τοῦ βίου διάξω, ἐπί τε τῇ ἐμαυτοῦ
ἀπαιδίᾳ ζῶν [4] ἐπικατορυχθήσομαι. Ἐλεοῦντες οὖν τοῦδε μὲν
τοῦ νηπίου τὴν ἀναμάρτητον συμφορὰν, ἐμοῦ δὲ τοῦ γηραιοῦ
καὶ ἀθλίου τὴν ἀπροσδόκητον κακοπάθειαν, μὴ καταψη-
φισάμενοι δυσμόρους ἡμᾶς [5] καταστήσητε, ἀλλ᾽ ἀπολύοντες
εὐσεβεῖτε. ὅ τε γὰρ ἀποθανὼν συμφοραῖς περιπεσὼν οὐκ
667 ἀτιμώρητος ἐστὶν, ἡμεῖς τε οὐ δίκαιοι τὰς τούτων ἁμαρτίας
συμφέρειν ἐσμέν. τήν τε οὖν εὐσέβειαν τούτων τῶν πρα-

[1] ἀληθείας τοῦ νόμου ὑπό τῶν πραχθ. καθ᾽ [2] ἕνεκα [3] πολλαπλασίας
[4] * ἔτι κατορυχθήσομαι [5] καταστήσατε

Αὐτὸν] Peremtum accusatoris filium. IDEM.

Ὑπό τε τῆς ἀληθείας τοῦ νόμου, ὑπό τε τῶν πραχθέντων] Imo vero ὑπό τε τῆς ἀληθείας τῶν πραχθέντων, ὑπό τε τοῦ νόμου, καθ᾽ ὃν διώκεται. et a veritate rei gestæ, et a lege, vi et ex auctoritate cujus hic filius meus reus agitur. v. proximam annotat. IDEM.

Δίκαιοι — ἐσμὲν] Non bene convenit huic plurali cum singulari præmisso ἀπολυόμενος et διώκεται. ergone deest aliquid in superioribus? non videtur. an leg. est ἀπολυόμενοι, ut pater accusati filii, idemque defensor ejus, vitam moresque suos sortemque cum filii complectatur, quicum causam habet communem? nam ut διωκόμεθα quoque legatur, nil admodum necesse videtur esse. potest διώκεται ad solum filium restringi, qui cædis insimulatus fuit. Sed ἀπολυόμενοι placet. IDEM.

Οὗτος] Filius meus. IDEM.

Πολλαπλασίας τούτου] Id est, πολλάκις πλείους καὶ μείζους συμφορὰς ἢ οὗτος. multo plures majoresque clades deveniam, quam hic filius meus. Sic p. 117, 16. ed. Steph. κίνδυνον πολλαπλάσιον. IDEM.

Διαφθορᾷ] Sic dedi de meo, pro vulgari διαφορᾷ. si filius hic meus vestra, judices, sententia morte mulctatus perierit. IDEM.

Οὐκ ἀτιμώρητος ἐστὶν] Piaculum erat committere, ut Manes occisi implacati manerent. Sed manebant, donec ab auctore cædis pœnæ reposcerentur. Solatur itaque rei defensor, idemque pater, occisi patrem, accusatorem, negans quidquam esse, cur metuat, ne filii Manes implacati maneant, habentes pœnas, seu ultionem sibi convenientem. Filius tuus non est inultus, h. e. pœnas, seu satisfactionem nactus est. A quonam? A semetipso. αὐτὸς ἑαυτὸν τετιμώρηται τῆς ἁμαρτίας. erroris sui pœnas ipse sibimet dedit. Ludit, ut videtis, in ambiguitate vocabuli ἀτιμώρητος, quod perinde eum significat, qui cruciatu suo pœnas non dedit, quam eum, qui cruciatu ejus, a quo læsus fuisset, pœnas nullas accepit; seu alias *impunitum*, alias *ultione non placatum, ultore carentem.* Frigidus ille quidem lusus est, non manens in eadem sententia, sed probabili et convenienti admiscens improbabilem parumque congruam. IDEM.

Συμφέρειν] Id est, φέρειν σὺν τούτοις, vel ἅμα τούτοις. raro significatu v. συμφέρειν usurpavit, quo non facile usquam locorum alibi reperiatur. τὰς ἁμαρτίας τινὶ συμφέρειν, una cum alio aliquo ferre, h. e. tolerare cruciatus et molestias ex alterius errore exsistentes. IDEM.

χθέντων καὶ τὸ δίκαιον αἰδούμενοι [1] ὁσίως καὶ δικαίως ἀπολύετε ἡμᾶς, καὶ μὴ ἀθλιωτάτω δύο πατέρα καὶ παῖδα ἀώροις συμφοραῖς περιβάλητε.

γ. ΕΚΚΑΤΗΓΟΡΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

ΟΤΙ μὲν αὐτὴ ἡ χρεία παρὰ φύσιν καὶ λέγειν καὶ 668
δρᾶν ἅπαντας ἀναγκάζει, ἔργῳ καὶ οὐ λόγῳ δοκεῖ μοι ση-
μαίνειν οὗτος. ἥκιστα γὰρ, ἔν γε τῷ ἔμπροσθεν χρόνῳ
ἀναιδὴς καὶ τολμηρὸς ὢν, νῦν ὑπ᾽ αὐτῆς τῆς συμφορᾶς
ἠνάγκασται λέγειν οἷα οὐκ ἄν ποτε ᾤμην ἐγὼ τοῦτον εἰ-
πεῖν. ἐγώ τε γὰρ πολλῇ ἀνοίᾳ χρώμενος οὐκ ἂν ὑπέλαβον
τοῦτον ἀντειπεῖν· οὐδὲ γὰρ ἂν ἕνα λόγον ἀντιδοὺς [2] ἢ λέξας
τὸ ἥμισυ τῆς κατηγορίας ἐμαυτὸν ἂν ἀπεστέρησα· οὗτός 669
τε μὴ τολμῶν οὐκ ἂν προεῖχε τῷ διπλασίῳ μου, ἕνα μὲν
πρὸς ἕνα λόγον ἀπολογηθεὶς, ἃ δὲ κατηγόρησεν, ἀναποκρί-

[1] ὁμοίως [2] ἤλεγξας

Εὐσέβεια τῶν πραχθέντων] Est res ita gesta, seu rei gestæ ea ratio, ut in ea peragenda reverentia deorum, seu jus divinum humanumque nullo modo læderetur. res sancte justeque acta. αἰδεῖσθαι τὴν τῶν πραχθέντων εὐσέβειαν, est, cavere ne rem, velut sceleratam, punias, eam, quæ in se sit pia, justa et sancta. Idem.

Ὁμοίως] Num ὁσίως. cum reverentia juris divini, sancte erga deos. subjicit καὶ δικαίως. cum observatione juris humani atque civilis. Idem.

Ἀώροις συμφοραῖς] Ἀώρους συμφορὰς appellat calamitates, quarum in numero etiam mors, non naturalis illa, sed aut vi externa, aut mœrore accelerata, est, sive senem hominem, sive juvenem, ante tempus de medio tollentes. Idem.

γ. Ἅπαντας] F. ἅπαντας ἅπαντα ἀναγκάζει, *omnes omnia cogit facere.* Idem.

Ἔργῳ, καὶ οὐ λόγῳ] Subaudi μόνον. re ipsa quoque, et non oratione solummodo. Idem est, ac si dixisset, ἔργῳ μᾶλλον ἢ λόγῳ, vel, οὐ λόγῳ τοσοῦτον, ὅσον ἔργῳ. Idem.

Οὐδὲ γὰρ ἂν] Id est, οὐδὲ γὰρ ἂν, εἰ μὴ τοῦτο ὑπέλαβον (καίτοι ἄνοια πολλὴ ἦν οὕτως ὑπολαμβάνειν) ἀντὶ δυοῖν λόγοιν ἕνα μόνον καὶ ἁπλοῦν λόγον ἔλεξα. Nisi enim sic opinatus fuissem (quamquam magna erat stultitia sic opinari) non una solummodo et simplici oratione (vel parte orationis) defunctus fuissem, sed geminassem accusationis meæ partes. Idem.

Ἀντιδοὺς ἤλεγξας] Legendum censeo ἀντὶ δυοῖν λέξας. dicta una oratione, loco duarum, id est, non satis habuissem brevi et simplici accusatione defungi, sed accusationi alteram quoque partem adjunxissem, hoc est, refutassem argutias ejus; neque hac accusationis altera parte ipse memet fraudassem. Idem.

Μὴ τολμῶν] Id est, εἰ μὴ ἐτόλμα ἀναιδῶς καὶ τολμηρῶς λέγειν. Idem.

Οὐκ ἂν προεῖχε τῷ διπλασίῳ μου] Cohæret μοῦ cum προεῖχε. non anteiret, neque vinceret me duplo, vel altero tanto, subaudi ὥσπερ νῦν προέχει. quemadmodum me nunc anteit, et me potior est altera re, in qua ego ei sum inferior. In altera enim pares ambo nos sumus. Ut ego orationem dixi accusatoriam, ita ille contra dixit defensoriam: verum ille non satis habuit causam suam solummodo defendere, sed defensioni suæ adjunxit quoque accusationem mei. In hoc me anteit: et hæc portio, quam ille sibi propriam habet, est par illi alteri, quam mecum habet communem. Ergo προέχει μου τῷ διπλασίῳ. Illa verba vero, ὡς προέχει μου, quæ modo dicebam tacite subjicienda a legente quoque esse, nescio an potius expressis literis addenda sint. Idem.

Ἀναποκρίτως] Malim, ἀνανταποκρίτως, nemine obloquente. Idem.

τως εἰπών. τοσοῦτον δὲ προέχων ἐν τοῖς λόγοις ἡμῶν, ἔτι
δὲ ἐν οἷς ἔπρασσε πολλαπλάσια τούτων, οὗτος μὲν οὐχ
670 ὁσίως δεῖται ὑμῶν συχνῶς τὴν ἀπολογίαν ἀποδέχεσθαι
αὐτοῦ· ἐγὼ δ' ἔδρασα μὲν οὐδὲν κακὸν, παθὼν δὲ ἄθλια καὶ
δεινὰ, καὶ νῦν ἔτι δεινότερα τούτων ἔργῳ καὶ [1] οὐ λόγῳ, εἰς
τὸν ὑμέτερον ἔλεον καταπεφευγὼς δέομαι ὑμῶν, ὦ ἄνδρες
ἀνοσίων ἔργων τιμωροὶ, ὁσίων δὲ διαγνώμονες, μὴ ἔργα φα-
νερὰ ὑπὸ πονηρᾶς λόγων ἀκριβείας πεισθέντες, ψευδῆ τὴν
ἀλήθειαν τῶν πραχθέντων ἡγήσησθε· ἡ μὲν γὰρ πιστότερον
ἢ ἀληθέστερον σύγκειται, ἡ δ' ἀδολώτερον καὶ ἀδυνατώ-
τερον λεχθήσεται. τῷ μὲν οὖν δικαίῳ πιστεύων ὑπερορῶ
τῆς ἀπολογίας· τῇ δὲ σκληρότητι τοῦ δαίμονος ἀπιστῶν
671 ὀῤῥωδῶ μὴ οὐ μόνον τῆς χρείας τοῦ παιδὸς ἀποστερηθῶ,
ἀλλὰ καὶ αὐθέντην [2] προσκαταγνωσθέντα ὑφ' ὑμῶν ἐπίδω 123. 1
αὐτόν. εἰς τοῦτο γὰρ τόλμης καὶ ἀναιδείας ἥκει, ὥστε τὸν
μὲν βαλόντα καὶ ἀποκτείναντα οὔτε τρῶσαι οὔτε ἀπο-

[1] Deest οὐ.

[2] πρςκαταγνωσθέντα

Ἔτι δὲ ἐν] Sententiæ hiatus admonet hic nonnulla deesse. Si plura non desunt, deest certe προέχει. Pro δὲ malim καί. Idem.

Πολλαπλάσια τούτων] Subaudi ἃ ἀρτίως ἔλεγον. Ille accusativus πολλαπλάσια aptus est ex illo verbo προέχει, quod deesse post ἔπρασσε modo admonebam mihi videri. adhuc multo pluribus modis me potior est, quam istis modis, quos modo commemorabam. Idem.

Οὗτος μὲν οὐχ] Malim οὗτος μὲν οὖν οὐχ. Idem.

Ὑμῶν συχνῶς, τὴν] Imo vero, trajecto commate, ὑμῶν, εὐμενῶς τὴν ἀπολ. rogat vos, ut defensionem suam velitis æquis et benevolis auribus animisque accipere. Idem.

Ἐγὼ δ' ἔδρασα] Malim ἐγὼ δὲ δράσας. Idem.

Ἔργῳ καὶ λόγῳ] Subjice tacite e præmissis repetendum παθών. verum tamen vereor ne desit ἰδὼν καὶ ἀκούσας, vel πάσχων. Idem.

Φανερὰ] Post φανερὰ deest aut ὁρῶντες, aut ἰδόντες, aut καταλαβόντες. Idem.

Ἡ μὲν γὰρ] Scil. ἡ πονηρὰ τῶν λόγων ἀκρίβεια. Idem.

Ἡ δὲ] Ἡ ἀλήθεια puta. Idem.

Καὶ ἀδυνατώτερον] Malim εἰ καὶ ἀδ. etiamsi minore cum facundia, rursus tamen etiam minus fraudulenter, minore cum fuco. Idem.

Αὐτὴν τὴν προκαταγνωσθέντα] Corrigendum: *αὐθέντην προσκαταγν. sed et metuo, ne insuper illum videam a vobis condemnatum tanquam sui ipsius interfectorem:* conferatur accusatio in fine p. 120. et 123, 4. ed. Steph. Αὐθέντης eodem sensu legitur 123, 39. 125, 4, 6. Pag. 124, 17. respondens ad ista priora, σχετλιάσει, inquit, - - - ἀποδέδεικται· in his, pro μήτε πονήσας scribendum arbitror μήτ' ἐπινοήσας, sc. ἀκοντίσαι: ut p. 123, 2. dixit οὔτε ψαύσαντα τοῦ ἀκοντίου, οὔτε ἐπινοήσαντα ἀκοντίσαι. De *homicida* in genere semel adhibuit Antiphon de Cæd. Herod. p. 130, 31. ὁ διώκων τὴν δίκην τοῦ φόνου, ἵνα μὴ ὁμωρόφιος γένηται τῷ αὐθέντῃ, *ne actor cum homicida sub eodem esset tecto*, sive *scelerati contage pollueretur*; hoc esset Euripidi, μὴ — τοῖσιν αὐθένταισι κοινωνῇ δόμων. Antiphontis ultima Spanhemius attigit in Callim. H. Cerer. v. 118. notatis quædam adjecit apposita I. Elsner. Obss. S. in Evang. Matt. viii. 8. *In Diatrib. in Eurip. P. D. Reliq.* c. xviii. p. 189. Valckenaer.

Αὐθέντην] Sic dedi de meo, pro vulgari αὐτὴν τήν. v. p. 123, 39. 124, 18. 125, 4. et 5. Legi quoque possit προσκαταγνωσθέντα, *præterea quoque adhuc condemnatum*, non solum carendum mibi erit filio meo, sed etiam facere non potero, quominus eundem videam insuper cædis quoque voluntariæ, in semet commissæ, incusatum. Reisk.

κτεῖναι φησὶ, τὸν δὲ οὔτε ψαύσαντα τοῦ ἀκοντίου οὔτε ἐπι-
νοήσαντα ἀκοντίσαι, ἁπάσης μὲν γῆς ἁμαρτόντα, πάντων
δὲ σωμάτων, διὰ τῶν ἑαυτοῦ πλευρῶν διαπῆξαι λέγει τὸ
ἀκόντιον. ἐγὼ δὲ, ἑκουσίως κατηγορῶν ἀποκτεῖναι αὐτὸν,
πιστότερος ἂν μοι δοκῶ εἶναι ἢ οὗτος, ὃς μήτε βαλεῖν μήτε 672
ἀποκτεῖναι φησὶ τὸ μειράκιον. ὁ μὲν γὰρ ἐν τούτῳ τῷ
καιρῷ καλούμενος ὑπὸ τοῦ παιδοτρίβου, ὃς ὑπεδέχετο τοῖς
ἀκοντίζουσι τὰ ἀκόντια [1] ἀναιρεῖσθαι, διὰ τὴν τοῦ βα-
λόντος ἀκολασίαν πολεμίῳ τῷ τούτου βέλει περιπεσὼν,
οὐδὲν εἰς οὐδέν' ἁμαρτὼν, ἀθλίως ἀπέθανεν· ὁ δὲ περὶ τὸν
τῆς ἀναιρέσεως καιρὸν πλημμελήσας τοῦ σκοποῦ τυχεῖν
ἐκωλύθη, ἀλλ' ἄθλιον καὶ πικρὸν σκοπὸν ἐμοὶ ἀκοντίσας,
ἑκὼν μὲν οὐκ ἀπέκτεινεν, [2] μᾶλλον δὲ ἑκὼν οὔτ' ἔβαλεν οὔτ'
ἀπέκτεινεν, ἀκουσίως δὲ οὐχ ἧσσον ἢ ἑκουσίως ἀπέκτεινέ
μου τὸν παῖδα. τὸ παράπαν δ' ἀρνούμενος μὴ ἀποκτεῖναι
αὐτὸν, οὐδ' ὑπὸ τοῦ νόμου καταλαμβάνεσθαί φησιν ὃς
ἀπαγορεύει μήτε δικαίως μήτε ἀδίκως ἀποκτείνειν. ἀλλὰ
τίς ὁ βαλών ἐστιν; ὁ φόνος οὖν ἀνήκει εἰς τοὺς θεωμένους,
ἢ εἰς τοὺς παιδαγωγούς; ὧν οὐδεὶς οὐδὲν κατηγορεῖ· οὐ γὰρ 673
ἀφανὴς ἀλλὰ καὶ λίαν φανερὸς ἔμοιγε αὐτοῦ ὁ θάνατός
ἐστιν. ἐγὼ δὲ τὸν νόμον ὀρθῶς ἀγορεύειν φημὶ, τοὺς ἀπο-
κτείναντας κολάζεσθαι. ὅ τε γὰρ ἄκων ἀποκτείνας

[1] [ἀναιρεῖται] [2] Desunt μᾶλλον - - - - ἀπέκτεινεν.

Ἁμαρτόντα, πάντων] Imo vero ἁμαρτὸν in neutro, quod redit ad insequens ἀκόντιον. jaculum, quod nusquam terrarum [h. e. in nulla parte soli] deciderit, et nullum plane corpus [neque humanum, neque bestiæ] ferierit. Erit ergo locus ita legendus: ἁπάσης μὲν γῆς ἁμαρτὸν, ἁπάντων δὲ σωμάτων. Prætuli ἁπάντων vulgari πάντων eo, quod et melius conveniret præmisso ἁπάσης, et litera α servaretur. Idem.

Ἀποκτεῖναι] Subaudi τὸν ἀποκτείναντα. Idem.

Αὐτὸν] Scil. τὸν ἐμὸν υἱόν. Si affirmarem ab hoc adolescente filium meum data opera confixum fuisse, magis ad assensum accommodate dicturus mihi viderer, quam hic, pater adolescentis, mihi videtur in eo dicere probabiliter, quod filium suum negat in filium meum jaculum intorsisse, eoque illum sustulisse. Idem.

Ὑπεδέχετο] Videntur hujus pædotribæ hæ fuisse partes, ut tela, ad metam conjecta, aut si quæ, ultra metam evecta, usquam humi decidissent, colligeret. Idem.

Ἀναιρέσεως] Subaudi τῶν βελῶν. oblitus sui, aut errore quodam opinionis in transversum actus, in æstimando tempore, quo tela humo subleguntur. Idem.

Ἢ ἑκουσίως] Videtur εἰ interponendum esse, οὐχ ἧσσον, ἢ εἰ ἑκουσίως, scil. ἀπέκτεινε. quod verbum tacite tum erit iterandum. non minus occidit, quam si voluntarie occidisset. Idem.

β΄. Οὐ τῷ φεύγειν] Id est, οὐκ ἐπὶ τῷ φ. vel οὐ διὰ τὸ φ. vel οὐχ ὅπως φεύγοιμι. non quo defugiam conventum vestrum, non quo recusem coram vobis stare. Significat invitissimum se hoc certamen obisse, non quo diffidat, sive causæ suæ, sive judicum æquitati. Respiciunt itaque istæc ad illud βιαιότατα. Si per me stetisset, hic nunc non starem. Idem.

Μὴ κατὰ νόμον μηδένα] Id est, μὴ κατὰ νόμον τινά. etiamsi lex nulla esset, cogens judices in hujus modi causis ad cognoscendum. sed post μηδένα videtur δικάζουσιν deesse. Idem.

Τεκμήρια] Imo vero τεκμήριον. ob insequens βιαιότης καὶ παρανομία. Idem.

Καὶ τῶν εἰς ἐμὲ] Adde aut παρασκευῶν, aut ἐπιβουλῶν, aut tale quid. Idem.

Κακοῦργος] Queritur, quod, cum in libello accusatorio, ex quo exhibito actio ἔνδειξις dicta instituta esset, reus latrocinii fuisset factus, et pro tali ad judices delatus (h. e. ἐνδεδειγμένος) tamen in ipsa actione, vel dictione causæ, non latrocinii, sed cædis patratæ accusetur. Ejusmodi factum novi et inauditi exempli esse, nunquam in foro Attico visum. Idem.

Ὁ νόμος] Subaudi, ὁ περὶ τῶν κακούργων κείμενος. lex præcipiens de κακούργοις, maleficis, lata est ad compescendos fures et manticularios, non autem ad homicidas pertinet. Idem.

Προσὸν] Sic correxerunt Stephanus et Scaliger Aldinæ vitium πρὸς ὄν. poterat quoque προσῆκον corrigi. atqui non docuerunt, me aut ad classem furum, aut ad classem manticulariorum pertinere. Idem.

Εἴς γε ταύτην τὴν ἀπαγωγὴν] Id est, ἐν τούτῳ τῷ ἀγῶνι, ὅς ἐστιν ἀγὼν ἀπαγωγῆς. fures, latrones et similes primum apud archontas ἐνεδείκνυντο indicabantur. hi archontes tum e collegio undecimvirorum deputatos in domum vel ad latebram illam, ubi latebat indicatus reus, mittebant, qui eum in carcerem ducerent. In ejusmodi causis erat ἡ ἔνδειξις copulata cum τῇ ἀπαγωγῇ. Qui autem cædis solummodo accusarentur, hi non omnes ἀπήγοντο. non omnis φόνου δίκη erat etiam ἀπαγωγή. Idem.

708 νομιμωτάτην καὶ δικαιοτάτην πεποιήκασιν ὑμῖν τὴν ἀποψήφισίν μου. φασὶ δὲ [1] αὖ τό τε ἀποκτείνειν μέγα κακούργημα εἶναι, καὶ ἐγὼ ὁμολογῶ μέγιστόν γε, καὶ τὸ ἱεροσυλεῖν καὶ τὸ προδιδόναι τὴν πόλιν· ἀλλὰ χωρὶς περὶ αὐτῶν ἑκάστου οἱ νόμοι κεῖνται. ἐμοὶ δὲ πρῶτον μὲν, οὗ τοῖς ἄλλοις [2] εἴργεσθαι προαγορεύουσι τοῖς τοῦ φόνου φεύγουσι
709 τὰς δίκας, [3] ἐνταυθοῖ πεποιήκασι τὴν κρίσιν, ἐν τῇ ἀγορᾷ· ἔπειτα τίμησίν μοι ἐποίησαν, τοῦ νόμου κειμένου τὸν ἀποκτείναντα ἀνταποθανεῖν, οὐ τοῦ ἐμοὶ συμφέροντος ἕνεκα, ἀλλὰ τοῦ σφίσιν αὐτοῖς λυσιτελοῦντος. καὶ ἐνταῦθα ἔλασσον ἔνειμαν τῷ τεθνηκότι τῶν ἐν τῷ νόμῳ κειμένων· οὗ δ' ἕνεκα, γνώσεσθε προϊόντος τοῦ λόγου. ἔπειτα δὲ, ὃ πάντας οἶμαι ὑμᾶς ἐπίστασθαι, ἅπαντα τὰ δικαστήρια ἐν ὑπαίθρῳ δικάζει τὰς δίκας τοῦ φόνου, οὐδενὸς ἄλλου ἕνεκα ἢ ἵνα τοῦτο μὲν οἱ δικασταὶ μὴ ἴωσιν εἰς τὸ αὐτὸ τοῖς μὴ καθαροῖς τὰς χεῖρας, τοῦτο δὲ ὁ διώκων τὴν δίκην τοῦ φόνου ἵνα μὴ [4] ὁμωρόφιος γίνηται τῷ αὐθέντῃ. σὺ δὲ τοῦτο μὲν παρελθὼν τοῦτον τὸν νόμον τοὐναντίον τοῖς ἄλλοις πεποίηκας· τοῦτο δὲ δέον σε διομόσασθαι ὅρκον τὸν μέγιστον καὶ ἰσχυρότατον, ἐξώλειαν αὐτῷ καὶ γένει καὶ οἰκίᾳ τῇ σῇ

[1] αὐτό τε τὸ ἀποκτ. [2] εἴργεσθαι [3] ἐνταυθί [4] ὁμορρόφιος γένηται

Πεποιήκασιν ἡμῖν] Ὑμῖν. Taylor. ὑμῖν dedi de meo, pro vulgari ἡμῖν. effecerunt, ut jure summo et sanctissimo me absolvere possitis a crimine κακουργίας, quod ob crimen ego in carcerem abductus fui. Reisk.

Κακούργημα] Ita merus et simplex φόνος ab JCtis Atticis in numero τῶν κακουργημάτων non habebatur, tametsi per se natura sua esset vel in præcipuis eorum. φόνου reus a vobis agor, inquit, at antea tamen pro κακούργῳ delatus ad magistratum et in carcerem ductus. hæc inter se non constant. φονεὺς et κακοῦργος differunt inter se. [Arguit sic: Si licet in homicidas agere ex titulo κακουργίας, licebit ex eodem titulo in sacrilegos quoque et in proditores patriæ agere. Verum hoc non licet. Nam sacrilegi judicantur et puniuntur ex præscripto legum peculiariter de iis latarum, quæ a legibus in maleficos latis diversæ sunt. quod idem quoque sic habet in proditoribus. Ergo, etiamsi homicidium non minus capitale sit maleficium, quam ullum aliud scelus, nefas tamen est hominem ex titulo κακουργίας maleficii in carcerem raptum, et inde in judicium productum, ipso in judicio condemnare, non ut κακοῦργον maleficum, sed ut homicidam. Nam peculiaria sua cujusque sunt jura, tam maleficorum, quam homicidarum. Neque illos ex horum jure licet judicare, neque hos ex illorum. Consequitur ex his, vocabulum κακοῦργος, quamvis stirpitus, hoc est per etymologiam, latissime pateat, nullumque non genus scelerum complectatur, tamen in usu loquendi foro Attico proprio tam late non patere, sed ad solos fures, latrones, grassatores, manticularios, vecticularios restringi, brevibus ut dicam, ad eos omnes, qui bona eripientes, vitam spoliatis salvam relinquunt. Male itaque faciunt adversarii mei, me, alio crimine in jus vocatum, ex alio condemnantes. *Access. ad sua Antiph.*] Idem.

Ὁ διώκων] V. Not. Valckenaer. p. 671. ed. R.

Τοὐναντίον] Ergo non sub dio, sed sub tecto. Verumtamen forum, ni fallor, sub dio erat. Quis mihi nodum hunc expediet? Reisk.

ἐπαρώμενον, ἦ μὴν μὴ ἄλλο κατηγορήσειν ἐμοῦ ἢ εἰς αὐ-
τὸν τὸν φόνον, ὡς ἔκτεινα, ἐν ᾧ οὔτ' ἂν κακὰ πολλὰ εἰρ-
γασμένος ἡλισκόμην ἄλλῳ ἢ αὐτῷ τῷ πράγματι, οὔτ' ἂν
πολλὰ ἀγαθὰ εἰργασμένος τούτοις ἂν ἐσωζόμην τοῖς ἀγα-
θοῖς· ἃ σὺ παρελθὼν, αὐτὸς σεαυτῷ [1]νόμους ἐξευρὼν,
ἀνώμοτος μὲν αὐτὸς ἐμοῦ κατηγορεῖς, ἀνώμοτοι δὲ οἱ μάρ-
τυρες καταμαρτυροῦσι, δέον αὐτοὺς τὸν αὐτὸν ὅρκον σοὶ 710
διομοσαμένους καὶ ἁπτομένους τῶν σφαγίων καταμαρτυ-
ρεῖν ἐμοῦ. ἔπειτα κελεύεις τοὺς δικαστὰς, ἀνωμότοις πι-
στεύσαντας τοῖς μαρτυροῦσι, φόνου δίκην καταγνῶναι, οὓς
σὺ αὐτὸς ἀπίστους κατέστησας παρελθὼν τοὺς κειμένους
νόμους, καὶ [2]εἴ γε χρῆναι αὐτοῖς τὴν σὴν παρανομίαν κρείσ-
σω γενέσθαι αὐτῶν τῶν νόμων.

γ'. Λέγεις δὲ ὡς οὐκ ἂν παρέμεινα εἰ ἐλελύμην, ἀλλ'
ᾠχόμην ἂν ἀπιὼν, ὡσπερεὶ ἄκοντά με ἀναγκάσας εἰσελ-
θεῖν εἰς τὴν γῆν ταύτην. καίτοι ἐμοὶ εἰ μηδὲν διέφερε [3]στέ-
31. 1 ρεσθαι τῆσδε τῆς πόλεως, ἴσον ἦν μοι καὶ προσκληθέντι 711
μὴ ἐλθεῖν, ἀλλ' ἐρήμην ὀφλεῖν τὴν δίκην, [4]τοῦτο δ' ἀπολο-
γησαμένῳ τὴν προτέραν ἐξεῖναι ἐξελθεῖν· ἅπασι γὰρ τοῦτο
κοινόν ἐστι. σὺ δὲ, ὃ τοῖς ἄλλοις Ἕλλησι κοινόν ἐστιν, ἰδίᾳ
ζητεῖς με μόνον ἀποστερεῖν, αὐτὸς σαυτῷ νόμον θέμενος.
καίτοι τούς γε νόμους, οἳ κεῖνται περὶ τῶν τοιούτων, πάν-
τας ἂν οἶμαι ὁμολογῆσαι κάλλιστα νόμων ἁπάντων κεῖσθαι
καὶ ὁσιώτατα. ὑπάρχει μέν γε αὐτοῖς ἀρχαιοτάτοις εἶναι
ἐν τῇ γῇ ταύτῃ, ἔπειτα τοὺς [5]αὐτοὺς ἀεὶ περὶ τῶν αὐτῶν,
ὅπερ μέγιστόν ἐστι σημεῖον νόμων καλῶς κειμένων. ὁ γὰρ
χρόνος καὶ ἡ ἐμπειρία τὰ μὴ καλῶς ἔχοντα ἐκδιδάσκει
τοὺς ἀνθρώπους. ὥστε οὐ δεῖ ὑμᾶς ἐκ τῶν τοῦ κατηγόρου
λόγων τοὺς νόμους καταμανθάνειν, εἰ καλῶς ὑμῖν κεῖνται
ἢ μὴ, ἀλλ' ἐκ τῶν νόμων τοὺς τοῦ κατηγόρου λόγους, εἰ
ὀρθῶς καὶ νομίμως ὑμᾶς διδάξουσι τὸ πρᾶγμα ἢ οὔ. οὕτως

[1] τοὺς νόμους [2] εἴ γε] λέγων [3] Deest στέρεσθαι. [4] τοῦτο] οὕτω [5] αὐτοὺς εἶναι ἀεὶ

Οὔτ' ἂν πολλὰ] Pro media voce malim αὖ. Reisk.

Ἃ σὺ παρελθὼν] Anacoluthum habes. Constructio postulat ταῦτα. cohærent enim verba inter se sic: σὺ δὲ (v. p. 88. v. antep.) παρελθὼν — tum rursus continuat h. l. ταῦτα σὺ παρελθὼν — verum, velut oblitus sui, et superius cœptæ neque absolutæ orationis, quasi de novo exorditur orationem, dicens ἃ σὺ παρελθών. Idem.

γ'. Ἐξεῖναι] Imo vero ἐξῆν. Idem.

Διδάξουσι] Malim διδάσκουσι in præsente, ut etiam p. 141. 26. ed. Steph. legitur: ubi locus hic ipse iisdem plane verbis iteratus habetur. Idem.

Οὕτως οἵ γε νόμοι] Malim εἶθ', οὕτως; οἱ

οἵ γε νόμοι κάλλιστα κεῖνται οἱ περὶ φόνου, οὓς οὐδεὶς πώποτε ἐτόλμησε κινῆσαι· σὺ δὲ μόνος δὴ τετόλμηκας γενέ-
712 σθαι νομοθέτης ἐπὶ τὰ πονηρότατα, καὶ ταῦτα παρελθὼν ζητεῖς με ἀδίκως ἀπολέσαι. ἃ δὲ σὺ παρανομεῖς, αὐτὰ ταῦτά μοι [1]μέγιστα μαρτύριά ἐστιν· εὖ γὰρ ᾔδεις, ὅτι οὐδεὶς ἂν ἦν σοι ὃς ἐκεῖνον τὸν ὅρκον διομοσάμενος ἐμοῦ κατεμαρτύρησεν. ἔπειτα δὲ οὐχ ὡς πιστεύων τῷ πράγματι ἀναμφισβητήτως ἕνα τὸν ἀγῶνα περὶ τοῦ πράγματος ἐποιήσω, ἀλλὰ ἀμφισβήτησιν καὶ λόγον ὑπελίπου ὡς καὶ τοῖς τότε δικασταῖς ἀπιστήσων. ὥστε μηδέν μοι ἐνθάδε μηδὲ πλέον εἶναι μηδ᾽ ἀποφυγόντι, ἀλλ᾽ ἐξεῖναί σοι λέγειν ὅτι κακοῦργος ἀπέφυγον, ἀλλ᾽ οὐ τοῦ φόνου τὴν δίκην· ἑλὼν δ᾽ ἂν ἀξιώσεις με ἀποκτεῖναι ὡς τοῦ φόνου τὴν δίκην ὠφληκότα. καίτοι πῶς ἂν εἴη τούτων δεινότερα μηχανήμα-
713 τα, εἰ [2]ὑμῖν μὲν ἅπαξ [3]τουτουσὶ πείσασι κατείργασται ἃ βούλεσθε, ἐμοὶ δ᾽ ἅπαξ [4]ἀποφυγόντι ὁ αὐτὸς κίνδυνος ὑπολείπεται; [5][τούτῳ δὲ πάλιν εἰς ἡμᾶς ἐπηρεάζειν ἐξέσται;] ἔτι δὲ μάλ᾽ ἐδέθην, ὦ ἄνδρες, παρανομώτατα ἁπάντων ἀνθρώπων. ἐθέλοντος γάρ μου ἐγγυητὰς τρεῖς καθιστάναι κατὰ τὸν νόμον, οὕτως οὗτοι διεπράξαντο τοῦτο ὥστε μὴ ἐγγενέσθαι μοι ποιῆσαι. τῶν δὲ ἄλλων ξένων ὅστις πώποτε ἠθέλησε καταστῆσαι ἐγγυητάς, οὐδεὶς πώποτ᾽ ἐδέθη. καίτοι οἱ ἐπιμεληταὶ τῶν κακούργων τῷ αὐτῷ χρῶνται νόμῳ τούτῳ. ὥστε καὶ οὗτος, κοινὸς τοῖς ἄλλοις

[1] μέγιστά μοι [2] ἡμῖν [3] Desunt τουτουσὶ -- δ᾽ ἅπαξ. [4] ἀποφυγοῦσι
[5] Absunt unci.

μὲν νόμοι. Idem.

Ταῦτα παρελθὼν] Participium hoc si accipis pro *transgressus*, ταῦτα non videtur bene habere, sed in eo aut τὰ ἴσα, aut τὰ ὅσια, aut denique πάντας [scil. τοὺς νόμους] latere, aut τὰ τακτά: sin autem pro *progressus*, legi possit κἀνταῦθα παρελθὼν, *et huc progressus*, in hoc forum, in conspectum horum judicum. Idem.

Μαρτύρια] Subaudi κατὰ σοῦ καὶ τῆς σῆς παρανομίας. Idem.

Περὶ τοῦ πράγματος] Num περὶ τοῦ αὐτοῦ πρ. una eademque in causa non mansisti. debebas enim me, quem κακοῦργον detulisses, etiam in ipsa actione κακουργήματος reum peragere. tu vero in delatione aliud, et rursus aliud in actione incusas, ibi κακούργημα, hic φόνον. Idem.

Μηδὲ πλέον] Aut hoc μηδὲ est delendum, aut interponendum est ἁλόντι. neque damnato mihi, neque absoluto, quicquam prodesse. Idem.

Λέγειν] Subaudi εἰ ἀπέφυγον ταύτην τὴν δίκην. Idem.

Κακοῦργος] Num κακουργίας, scil. δίκην. Idem.

Ἔτι δὲ μάλ᾽ ἐδέθην] Non intelligo quid sibi hoc μάλα velit, nisi si quod adverbium desit, e. c. οἰκτρῶς, aut ἀδίκως, aut ὠμῶς, aut ἐπὶ δηρὸν *admodum diu*. nam cum παρανομώτατα nequit copulari, quia nimis longe avulsa illa a sese sunt, et μάλα non cum superlativis, sed cum positivis solet copulari. Idem.

Τοῦτο ὥστε] Inverso malim ordine, ὥστε τοῦτο. Idem.

πᾶσιν ὢν, ἐμοὶ μόνῳ ἐπέλιπε μὴ ὠφελεῖσθαι τοῦδε τοῦ
νόμου. τούτοις γὰρ ἦν τοῦτο συμφέρον, πρῶτον μὲν ἀπα-
ρασκευότατον γενέσθαι με, μὴ δυνάμενον διαπράσσεσθαι
[1] ἐμαυτὸν τἀμαυτοῦ πράγματα, ἔπειτα κακοπαθεῖν τῷ
σώματι, τούς τε φίλους προθυμοτέρους ἔχειν τοὺς ἐμαυτοῦ 714
τούτοις τὰ ψευδῆ μαρτυρεῖν ἢ ἐμοὶ τἀληθῆ λέγειν, διὰ τὴν
τοῦ σώματος κακοπάθειαν. ὄνειδός τε αὐτῷ [2] γε ἐμοὶ περιέ-
θεσαν καὶ τοῖς ἐμοῖς προσήκουσιν εἰς τὸν βίον ἅπαντα.
οὑτωσὶ μὲν δὴ πολλοῖς ἂν σωθεὶς τῶν νόμων τῶν ὑμετέρων
καὶ τοῦ δικαίου καθέστηκα εἰς τὸν ἀγῶνα· ὅμως μέντοι γε
καὶ ἐκ τούτων πειράσομαι ἐμαυτὸν ἀναίτιον ἐπιδεῖξαι.
καίτοι χαλεπόν γε τὰ ἐκ πολλοῦ κατεψευσμένα καὶ ἐπι-
βεβουλευμένα, ταῦτα παραχρῆμα ἀπελέγχειν· ἃ γάρ τις
μὴ προσεδόκησεν, οὐδὲ φυλάξασθαι ἐγχωρεῖ.

δ'. Ἐγὼ δὲ τὸν μὲν πλοῦν ἐποιησάμην ἐκ τῆς Μιτυλή-
νης, ὦ ἄνδρες, ἐν τῷ πλοίῳ πλέων ᾧ Ἡρώδης οὗτος, ὅν φα-
σιν ὑπ' ἐμοῦ ἀποθανεῖν· ἐπλέομεν δὲ εἰς τὴν Αἶνον, ἐγὼ μὲν
ὡς τὸν πατέρα — ἐτύγχανε γὰρ ἐκεῖ ὢν τότε —, ὁ δ'
Ἡρώδης ἀνδράποδα Θραξὶν ἀνθρώποις ἀπολύσων. συνέπλει 715
δὲ τά τε ἀνδράποδα ἃ ἔδει αὐτὸν ἀπολῦσαι, καὶ οἱ Θρᾷ-
κες οἱ λυσόμενοι. τούτων δ' ὑμῖν τοὺς μάρτυρας παρέξομαι.

[1] Deest ἐμαυτόν.

[2] * τε ἐμοὶ περιέθεισαν

Ἐμοὶ—] Leg. videtur: ἐπ'. ἐμοὶ μόνῳ ἐπέλιπεν, ὥστε μὴ ὠφελεῖσθαι [subaudi ἐμὲ] ὑπὸ [vel παρὰ] τοῦδε τοῦ νόμου. Idem.

Προθυμοτέρους] An προθυμοτέρως legatur, parum interesse arbitror. Modo teneatur, vulgata si servetur, subaudiri debere ἑαυτούς. tertio futurum videbant adversarii, ut ipsi haberent amicos meos paratiores ad operam testimonii præstandam ipsis, tametsi falsi testimonii, quam mihi, tametsi veri. Præterea suspicor, ex insequentibus, ante ἔχειν vel ἕξειν deesse ἔμελλον *futurum erat ut haberent.* Idem.

Τἀληθῆ λέγειν] Post λέγειν deesse videtur καὶ ἐμαυτὸν ἀπολογεῖσθαι ἀθυμότερον. Subaudi a communi ἕξειν ἔμελλον. habituri me erant ipsummet ad causam capitis dicendam segniorem ex animi dejectione, atque cunctantiorem, si corpus mihi a tædiis carceris confractum et commaceratum esset. Idem.

Πολλοῖς] Id est, ὑπὸ πολλῶν, a multis legum vestrarum. Idem.

Καὶ τοῦ δικαίου] Imo vero τῷ δικαίῳ. neque enim dici potest πολλοῖς τοῦ δικαίου. Aut ergo hic loci vitium est, aut paulo ante, et pro πολλοῖς leg. est ὑπὸ πολλῶν. nisi si subaudire velis κεφαλαίοις, *e multis capitibus* vel *locis juris æqui*, quod minus placet. Idem.

δ'. Ὦ Ἡρώδης] Fort. leg. ᾧ καὶ Ἡρώδης. Idem.

Ἀπολύσων] Id est, ἀποδωσόμενος, venditurus. Idem.

Συνέπλει κ. τ. λ.] Itane vero omnes eodem navigio conclusi? Nil mirer Herodem in Thraciam navigare cum mancipiis ibi distrahendis: non magis mirer Thracas homines Mitylenam navigare ad mancipia ab eo emendum. Sed mansissent tum, aut illi in Thracia, aut hic domi. Cur autem et venditor, et emtores, et venalitii, simul omnes in Thraciam navigent, causæ probabilis nil exputo. Ergone mancipia aut vendenda sine emtoribus a venditore illuc, ubi venire deberent, pervehi non poterant? aut jam vendita, et ab emtoribus suscepta, non poterant a solis emtoribus in Thraciam perduci sine venditore? Idem.

ΜΑΡΤΥΡΕΣ.

ἡ μὲν πρόφασις ἑκατέρῳ τοῦ πλοῦ αὕτη· ἐτύχομεν δὲ
χειμῶνί τινι χρησάμενοι, ὑφ᾽ οὗ ἠναγκάσθημεν κατασχεῖν
εἰς τῆς Μηθυμναίας τι χωρίον, οὗ τὸ πλοῖον ὥρμει τοῦτο
εἰς ὃ μετεκβάντα φασὶν ἀποθανεῖν αὐτὸν τὸν Ἡρώδην. καὶ
πρῶτον μὲν αὐτὰ ταῦτα σκοπεῖτε, ὅτι μὴ προνοίᾳ μᾶλλον 132. 1
ἐγίνετο ἢ τύχῃ. οὔτε γὰρ πείσας τὸν ἄνδρα οὐδαμοῦ ἀπε-
λέγχομαι σύμπλουν μοι γενέσθαι, ἀλλ᾽ αὐτὸς καθ᾽ αὑτὸν
τὸν πλοῦν πεποιημένος ἕνεκα [1]πραγμάτων ἰδίων· οὔτ᾽ [2]αὖ
ἐγὼ ἄνευ προφάσεως ἱκανῆς φαίνομαι τὸν πλοῦν ποιησά-
μενος εἰς τὴν Αἶνον, οὔτε κατασχόντες εἰς τὸ χωρίον τοῦτο
ἀπὸ παρασκευῆς οὐδεμιᾶς, ἀλλ᾽ ἀνάγκῃ χρησάμενοι· οὔτ᾽
αὖ ἐπειδὴ ὡρμισάμεθα, ἡ μετάβασις ἐγένετο εἰς τὸ ἕτερον
πλοῖον οὐδενὶ μηχανήματι οὐδ᾽ ἀπάτῃ, ἀλλ᾽ ἀνάγκῃ καὶ
716 τοῦτο ἐγίγνετο. ἐν ᾧ μὲν γὰρ ἐπλέομεν, ἀστέγαστον ἦν τὸ
πλοῖον· εἰς ὃ δὲ μετέβημεν, ἐστεγασμένον· τοῦ δὲ ὑετοῦ
ἕνεκα ταῦτ᾽ ἦν. τούτων δ᾽ ὑμῖν μαρτυρίας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

ἐπειδὴ δὲ [3]μετεξέβημεν εἰς τὸ ἕτερον πλοῖον, ἐπίνομεν. καὶ ὁ μέν ἐστι φανερὸς ἐκβὰς [4]ἐκ τοῦ πλοίου καὶ οὐκ εἰσβὰς πάλιν· ἐγὼ δὲ τὸ παράπαν οὐκ ἐξέβην τοῦ πλοίου τῆς νυκτὸς ἐκείνης. τῇ δ᾽ ὑστεραίᾳ, ἐπειδὴ ἀφανὴς ἦν ὁ ἀνήρ, ἐζητεῖτο οὐδέν τι μᾶλλον ὑπὸ τῶν ἄλλων ἢ καὶ ὑπ᾽ ἐμοῦ· καὶ εἴ τῳ τῶν ἄλλων ἐδόκει δεινὸν εἶναι, καὶ ἐμοὶ ὁμοίως. καὶ εἴς τε τὴν Μιτυλήνην ἐγὼ αἴτιος ἦν πεμφθῆναι ἄγγελον, καὶ τῇ ἐμῇ γνώμῃ ἐπέμπετο. καὶ ἄλλου οὐδενὸς ἐθέλοντος βαδίζειν, οὔτε τῶν ἀπὸ τοῦ πλοίου οὔτε τῶν αὐτῷ τῷ Ἡρώδῃ

[1] πραγμάτων ἕνεκεν [2] αὖ] οὖν [3] μετέβημεν [4] Deest ἐκ.

Χειμῶνί τινι] Num ante τινι deest epithetum aliquod δεινῷ, vel φοβερῷ, vel σφοδρῷ. IDEM.

Ὥρμει τοῦτο] F. ὥρμει ἕτερον. V. p. 132. v. 9. ed. Steph. TAYLOR.

Αὐτὸν] Aut cum οὗτα est commutandum, aut, si servatur, delenda sunt proxima, τὸν Ἡρώδην, ut e scholio nata. REISK.

Πεποιημένος] Subjice tacita mente repetendum ἐλέγχεται e præmisso ἀπελέγχομαι. melius tamen conveniret additum φαίνεται. IDEM.

Κατασχόντες] Adde ἡμεῖς. ubi subauditur φαινόμεθα, e proximo præmisso φαίνομαι tacite iterandum. IDEM.

Μαρτυρίας] Quamquam nil interest, malim tamen ob proximum insequens μάρτυρες non μαρτυρίαι, hic legi litera minus μάρτυρας. IDEM.

Δεινὸν εἶναι] Scil. τὸ γεγονὸς, vel, τὸ οὐχ εὑρίσκεσθαι τὸν ἄνδρα. IDEM.

Τῶν ἀπὸ τοῦ πλοίου] Scil. εἰς ὃ μετέβημεν, hominum illo navigio, in quod transcenderamus, jam ante vectorum, quam

συμπλεόντων, ἐγὼ τὸν ἀκόλουθον τὸν ἐμαυτοῦ πέμπειν ἕτοιμος ἦν· καίτοι γε οὐ δήπου κατ᾽ ἐμαυτοῦ μηνυτὴν ἔπεμπον εἰδώς. ἐπειδὴ δὲ ὁ ἀνὴρ οὔτε ἐν τῇ Μιτυλήνῃ ἐφαίνετο ζητούμενος οὔτ᾽ [1]ἄλλοθι οὐδαμοῦ, πλοῦς τε ἡμῖν ἐγίνετο, καὶ
τἆλλ᾽ ἀνήγετο πλοῖα ἅπαντα, ᾠχόμην κἀγὼ πλέων. τού- 717
των δ᾽ ὑμῖν τοὺς μάρτυρας [2]παρασχήσομαι.

ΜΑΡΤΥΡΕΣ.

έ. Τὰ μὲν γενόμενα ταῦτ᾽ ἐστίν· ἐκ δὲ τούτων ἤδη σκοπεῖτε τὰ εἰκότα. πρῶτον μὲν γὰρ πρὶν ἀνάγεσθαί με εἰς τὴν Αἶνον, ὅτε ἦν ἀφανὴς ὁ ἀνήρ, οὐδεὶς ᾐτιάσατό με ἀνθρώπων, ἤδη πεπυσμένων τούτων τὴν ἀγγελίαν· οὐ γὰρ ἄν ποτε ᾠχόμην πλέων· ἀλλ᾽ εἰς μὲν τὸ παραχρῆμα κρεῖσσον ἦν τὸ ἀληθὲς καὶ τὸ γεγενημένον τῆς τούτων αἰτιάσεως, καὶ ἅμα ἐγὼ ἔτι ἐπεδήμουν. ἐπειδὴ δὲ ἐγώ τε ᾠχόμην πλέων καὶ οὗτοι ἐξ ἐπιβουλῆς συνέθεσαν ταῦτα καὶ ἐμηχανήσαντο κατ᾽ ἐμοῦ, τότε ᾐτιάσαντο. λέγουσι δὲ ὡς ἐν μὲν τῇ γῇ ἀπέθανεν ὁ ἀνήρ, κἀγὼ λίθον ἐνέβαλον [3]αὐτῷ εἰς τὴν κεφαλήν, ὃς οὐκ ἐξέβην τὸ παράπαν ἐκ τοῦ πλοίου. καὶ τοῦτο μὲν ἀκριβῶς οὗτοι ἴσασιν· ὅπως δ᾽ ἠφανίσθη ὁ ἀνήρ, οὐδενὶ λόγῳ εἰκότι δύνανται ἀποφαίνειν. δῆλον [4]γὰρ ὅτι ἐγγύς που τοῦ λιμένος εἰκὸς ἦν τοῦτο γενέσθαι, τοῦτο μὲν μεθύοντος τοῦ ἀνδρός, τοῦτο δὲ νύκτωρ ἐκβάντος ἐκ τοῦ πλοίου· οὔτε γὰρ αὑτοῦ κρατεῖν

[1] ἄλλοθεν [2] παρέξομαι [3] αὐτῷ ἐνέβαλον [4] γάρ που ὅτι

nos illuc transmigrassemus. Idem.

Συμπλεόντων] Qui jam antea eadem illa nave usi, illuc appulerant, quam navem nunc reliqueramus. Idem.

Εἰδὼς] Data opera, destinato consilio. subauditur ὅτι κατ᾽ ἐμοῦ μηνύσει. suspicor tamen post εἰδὼς deesse εἰδότα, vel potius συνειδότα. quem gnarum et conscium mei facinoris esse scirem. Idem.

Ἄλλοθεν] Π. ἄλλοθι. H. Stephan. Aut cum Stephano leg. videtur, aut ἄλλοθεν οὐδαμόθεν. Reisk.

έ. Ἦν ἀφανὴς] Subaudi ἤδη. Idem.

Τὴν ἀγγελίαν] Subaudi ταύτην, hanc de Herode sublato. Ad illa insequentia, οὐ γὰρ ἂν ᾠχόμην πλέων, subaudi, εἰ οὗτοι ἤδη τότε τοῦ φόνου με ᾐτιάσαντο ἔτι ἐν τῷ Μηθυμναίων λιμένι ὄντα. Idem.

Ἐπεδήμουν] Athenis adhuc versabar. videtur colligi sic posse, statim ab Herodis e rebus humanis excessu, quocunque modo is excessit, reum Ænum, inde Athenas, inde rursus Ænum, et sic tandem iterum Athenas revertisse, ubi necessitas causam capitis agendi ipsi imposita fuit. Potest quoque sic accipi: versabar, commorabar adhuc in insula Lesbo, aut ibi loci, ubi Herodes cœperat desiderari. Hæc interpretatio si magis probabitur, quam illa superius proposita, contorta utique, significabit ᾠχόμην πλέων, disceseram e portu Methymnæo vela faciens versus Ænum. Idem.

Ὠχόμην πλέων] Athenis puta versus Ænum. Idem.

Αὐτοῦ κρατεῖν] F. αὑτοῦ. Taylor. Cum aspero exaravi, pro leni, qui est in vulgatis. ipse semet tenere, h. e. in pedibus rectus stare, et regere corpus non poterat, ob crapulam sui compos non erat, unde

718 ἴσως ἂν ἐδύνατο, οὔτε τῷ ἀπάγοντι νύκτωρ μακρὰν ὁδὸν ἡ πρόφασις ἂν εἰκότως ἐγίνετο· ζητουμένου δὲ τοῦ ἀνδρὸς δύο ἡμέρας ἐν τῷ λιμένι καὶ ἄπωθεν τοῦ λιμένος, οὔτε ὀπτὴρ οὐδεὶς ἐφάνη οὔθ' αἷμα οὔτ' ἄλλο σημεῖον οὐδέν. κᾆτ' ἐγὼ συγχωρῶ τῷ [1] τούτων λόγῳ, παρεχόμενος [2] μὲν τοὺς μάρτυρας ὡς οὐκ ἐξέβην ἐκ τοῦ πλοίου· [3] εἰ δὲ καὶ ὡς μάλιστα ἐξέβην ἐκ τοῦ πλοίου, οὐδενὶ τρόπῳ εἰκὸς ἦν ἀφανισθέντα λαθεῖν τὸν ἄνθρωπον, εἴπερ μὴ πάνυ πόῤῥω ἀπῆλθεν ἀπὸ τῆς θαλάσσης. ἀλλ' ὡς κατεποντώθη λέγουσιν. ἐν τίνι πλοίῳ; δῆλον γὰρ ὅτι ἐξ αὐτοῦ τοῦ λιμένος ἦν τὸ πλοῖον.
719 πῶς ἂν οὖν οὐκ ἐξευρέθη; καὶ μὴν εἰκός γε ἦν καὶ σημεῖόν τι γενέσθαι ἐν τῷ πλοίῳ ἀνδρὸς τεθνεῶτος καὶ ἐκβαλλομένου νύκτωρ. νῦν δὲ ἐν ᾧ μὲν ἔπινε πλοίῳ καὶ ἐξ οὗ ἐξέβαινεν, ἐν τούτῳ φασὶν εὑρεῖν σημεῖα, ἐν ᾧ αὐτοὶ μὴ ὁμολογοῦσιν ἀποθανεῖν τὸν ἄνδρα· ἐν ᾧ δὲ κατεποντώθη, οὐχ εὗρον οὔτ' αὐτὸ τὸ πλοῖον οὔτε σημεῖον οὐδέν. τούτων δ' ὑμῖν τοὺς μάρτυρας παραστήσομαι.

ΜΑΡΤΥΡΕΣ.

ἐπειδὴ δὲ ἐγὼ φροῦδος [2] μὲν ἦν, πλέων εἰς τὴν Αἶνον, τὸ δὲ πλοῖον ἧκεν εἰς τὴν Μιτυλήνην ἐν ᾧ ἐγὼ καὶ Ἡρώδης ἐπλέο- 133.
μεν, πρῶτον μὲν εἰσβάντες εἰς τὸ πλοῖον ἠρεύνων, καὶ ἐπειδή τι αἷμα εὗρον, ἐνταῦθα ἔφασαν τεθνάναι τὸν ἄνδρα· ἐπειδὴ δὲ αὐτοῖς τοῦτο οὐκ [4] ἐνεχώρει, ἀλλ' ἐφαίνετο τῶν προβάτων ὂν αἷμα, ἀποτραπόμενοι τούτου τοῦ λόγου συλλαβόντες ἐβασάνιζον τοὺς ἀνθρώπους. καὶ ὃν μὲν τότε παραχρῆμα ἐβασάνισαν, οὗτος μὲν οὐδὲν εἶπε περὶ ἐμοῦ φλαῦρον·

[1] τούτου [2] Deest μέν. [3] Desunt εἰ δὲ -- πλοίου. [4] ἐχώρει

constat eum haud procul a portu discessisse. Reisk.

Ἀπάγοντι] Subaudi αὐτόν. id est, εἴ τις ἄλλος αὐτὸν ἐβούλετο ἀπάγειν. siquis eum noctu longiuscule a navi abducere voluisset, ei nullus futurus fuisset idoneus rei prætextus. Idem.

Κᾆτ' ἐγὼ συγχωρῶ] In conjunctivo, pro συγχωρήσω vel συγχωρήσαιμι. et nihilominus tamen ego concedam? illinc mihi nihilominus tamen hoc extorquere volent, ut assentiar ipsorum fabulæ, ut veram illam fatear? Egone vero ita sim stultus? tam hostis mei? tametsi testes exhibeam —. Idem.

Τεθνάναι] Scil. φονευθέντα. Idem.

Τῶν προβάτων] Articulum abesse malim, aut si servetur, subaudiendum erit, τῶν ἐν τῷ πλόῳ καὶ ὑπὲρ αὐτοῦ ἐσφαγμένων. mactatarum in navigatione, et pro ea, quo secunda et auspicata exiret. Idem.

Τοὺς ἀνθρώπους] Quoniam sumebat orator, eos judicibus jam notos esse, nil curavit certiores eorum notas edere. Alter eorum fuit servus nescio cujus, alter ingenuus. Idem.

ὃν δ' ἡμέραις ὕστερον πολλαῖς [1] ἐβασάνισαν, ἔχοντες παρὰ
σφίσιν αὐτοῖς τὸν πρόσθεν χρόνον, οὗτος ἦν ὁ πεισθεὶς ὑπὸ 720
τούτων καὶ καταψευσάμενος ἐμοῦ. παρέξομαι δὲ τούτων
τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ϛʹ. Ὡς μὲν ὕστερον τούτῳ τῷ χρόνῳ ὁ ἀνὴρ ἐβασανίσθη,
μεμαρτύρηται ὑμῖν· προσέχετε δὲ τὸν νοῦν αὐτῇ τῇ βασάνῳ,
οἵα γεγένηται. ὁ μὲν γὰρ δοῦλος ᾧ ἴσως οὗτοι τοῦτο μὲν
ἐλευθερίαν ὑπέσχοντο, τοῦτο δ' ἐπὶ τούτοις ἦν παύσασθαι
κακούμενον αὐτὸν, ἴσως ὑπ' ἀμφοῖν πεισθεὶς κατεψεύσατό
μου, τὴν μὲν ἐλευθερίαν ἐλπίσας οἴσεσθαι, τῆς δὲ βασάνου
εἰς τὸ παραχρῆμα βουλόμενος ἀπηλλάχθαι. οἶμαι δ' ὑμᾶς
ἐπίστασθαι τοῦτο, ὅτι ἐφ' οἷς ἂν τὸ πλεῖστον μέρος τῆς
βασάνου, πρὸς τούτων εἰσὶν οἱ βασανιζόμενοι λέγειν ὅ τι 721
ἂν ἐκείνοις μέλλωσι χαριεῖσθαι· ἐν τούτοις γὰρ αὐτοῖς
ἐστὶν ἡ ὠφέλεια, ἄλλως τε κἂν μὴ παρόντες τυγχάνωσιν
ὧν ἂν καταψεύδωνται. εἰ γὰρ ἐγὼ ἐκέλευον αὐτὸν στρε-
βλοῦν ὡς οὐ τἀληθῆ λέγοντα, ἴσως ἂν ἐν αὐτῷ τούτῳ ἀπε-
τρέπετο μηδὲν κατ' ἐμοῦ καταψεύδεσθαι· νῦν δὲ αὐτοὶ ἦσαν

[1] ἐδαπάνησαν

Ἐδαπάνησαν] F. ἐτυμπάνισαν. TAYLOR. Id est, κατανήλωσαν βασανίζοντες. quem tormentis pæne absumserunt, h. e. tam dirum et horribilem in modum torserunt, ut, quasi beluæ quædam, carnes ejus dilaniarent; et enormitate cruciatuum hominem propemodum enecarent; quem in custodia penes se habuerant, et acribus vigiliis septum caverant, ne qua elaberetur, longinquo temporis intervallo, quod effluxit ab appulsu navis illius, in qua reus cum Herode vectus fuerat, ad Mitylenam, usque ad illud tempus quo servus torquebatur. REISK.

Καὶ καταψευσάμενος] Καὶ videtur hinc in versum tertium, proximum subjectum, deducendum esse, ad hunc modum: *οὗτος ὁ, πεισθεὶς ὑπὸ τούτων, καταψευσάμενος ἐμοῦ. hic falso me indicavit, ab his persuasus.* cohærebit sic articulus ὁ, non cum proximo πεισθεὶς, sed cum remotiore καταψευσάμενος. quasi sic dixisset: οὗτος ἐμοῦ κατεψεύσατο, διὰ τὸ πεισθῆναι ὑπὸ τούτων. Tum pergit: *παρέξομαι δὲ καὶ τούτων τοὺς μάρτυρας. præstabo harum quoque rerum testes*, prout superius expositarum exhibui. IDEM.

ϛʹ. Ὕστερον τοτύῳ τῷ χρόνῳ] Malim aut ὕστερον τούτων συχνῷ χρόνῳ, aut ὕστερον τοσούτῳ χρόνῳ. IDEM.

Ἴσως ὑπ'] Post ἴσως deest copula δ' aut δέ. IDEM.

Πλεῖστον] Post πλεῖστον addendum, aut certe subaudiendum est ᾖ. IDEM.

Πρὸς τούτων] Id est, κατὰ τὴν τούτων γνώμην. Ita vero si interpreteris, necesse est, ut ante vel post λέγειν desit ἕτοιμοι. parati sunt ex horum sententia loqui ea, quæ—. Sin autem probabile minus sit, ἕτοιμοι addi oportere, tum πρὸς τούτων εἰσὶν οἱ βασανιζόμενοι significabit, illis favent torti, cum illis faciunt, in eorum partem vergunt; et tum λέγειν accipi debet pro ὥστε λέγειν. quo fit ut proloquantur ea—. IDEM.

Ἐν τούτοις] Dubium est silne masculini, an neutrius generis. Si neutrius generis est, debet accipi pro ἐν τούτῳ. in hoc enim, si nempe ea dicant, quibus gratificentur iis, penes quos potestas est tormenta aut intendendi, aut remittendi, —. Sin autem masculinum est τούτοις h. l., significabit ἐν, idem atque παρὰ, penes eos. ἐν τῷ τούτων κράτει. ἐν τῇ τούτων χειρὶ καὶ βουλῇ. IDEM.

καὶ βασανισταὶ καὶ ἐπιτιμηταὶ τῶν σφίσιν αὐτοῖς συμφερόντων. ἕως μὲν οὖν μετὰ χρηστῆς τῆς ἐλπίδος ἐγίνωσκέ μου καταψευσάμενος, τούτῳ διϊσχυρίζετο τῷ λόγῳ· ἐπειδὴ δὲ ἐγίνωσκεν ἀποθανούμενος, ἐνταῦθ᾽ ἤδη τῇ ἀληθείᾳ ἐχρῆτο, καὶ ἔλεγεν ὅτι πεισθείη ὑπὸ τούτων ἐμοῦ καταψεύδεσθαι. διαπειραθέντα δ᾽ αὐτὸν τὰ ψευδῆ λέγειν, ὕστερον δὲ τἀληθῆ
722 λέγοντα, οὐδέτερα ὠφέλησαν, ἀλλ᾽ ἀπέκτειναν ἄγοντες τὸν ἄνδρα τὸν μηνυτὴν, ᾧ πιστεύοντες ἐμὲ διώκουσι, τοὐναντίον ποιήσαντες ἢ οἱ ἄλλοι ἄνθρωποι. οἱ μὲν γὰρ ἄλλοι τοῖς μηνυταῖς τοῖς μὲν ἐλευθέροις χρήματα διδόασι, τοὺς δὲ δούλους ἐλευθεροῦσιν· οὗτοι δὲ θάνατον τῷ μηνυτῇ τὴν δωρεὰν ἀπέδοσαν, ἀπαγορευόντων τῶν φίλων τῶν ἐμῶν μὴ ἀποκτείνειν τὸν ἄνδρα πρὶν ἂν ἐγὼ ἔλθοιμι. δῆλον οὖν ὅτι οὐ τοῦ σώματος αὐτοῦ χρεία ἦν αὐτοῖς, ἀλλὰ τῶν λόγων. ζῶν μὲν γὰρ ὁ ἀνὴρ διὰ τῆς αὐτῆς βασάνου ἰὼν ὑπ᾽ ἐμοῦ κατήγορος ἂν ἐγίνετο τῆς τούτων ἐπιβουλῆς· τεθνεὼς δὲ τὸν μὲν ἔλεγχον τῆς ἀληθείας ἀπεστέρει δι᾽ αὐτοῦ τοῦ σώματος ἀπολλυμένου, τοῖς δὲ λόγοις τοῖς ἐψευσμένοις ὑπ᾽ ἐκείνου ὡς ἀληθέσιν οὖσιν ἐγὼ ἀπόλλυμαι. τούτων δὲ μάρτυράς μοι κάλει. ἐχρῆν μὲν γὰρ αὐτοὺς, ὡς ἐγὼ νομίζω, ἐνθάδε παρέχοντας τὸν μηνυτὴν αὐτὸν ἀπελέγχειν ἐμὲ, καὶ αὐτῷ τούτῳ χρῆσθαι ἀγωνίσματι, ἐμφανῆ παρέχοντας τὸν ἄνδρα
723 καὶ κελεύοντας βασανίζειν, ἀλλὰ μὴ ἀποκτεῖναι. φέρε γὰρ δὴ ποτέρῳ [1] νῦν χρήσονται τῶν λόγων; πότερα ᾧ πρῶτον

[1] Deest νῦν.

Ἐπιτιμηταὶ] Videtur hoc vocabulum h. l. raro modo usurpatum esse, pro ἐπιτάκται, *imperantes, præcipientes.* qui torquent, iidem quoque præscribunt, quæ volunt a tortis edi. Idem.

Χρηστῆς τῆς ἐλπίδος] Malim articulum abesse. Idem.

Καταψευσάμενος] Malim in futuro. καταψευσόμενος legi, idem est, ac si dixisset, ἐγίνωσκεν ὅτι καταψεύσεται, vel, in optativo futuri, καταψεύσοιτο. certo sciebat se mendacium in fraudem meam, e re sua, cum emolumento quodam suo, esse dicturum. Idem.

Ὠφέλησαν] Imo vero ὠφέλησεν in singulari. Idem.

Ἄγοντες] Aut ἀπάγοντες leg. scil. τὴν ἐπὶ θανάτῳ ὁδὸν, aut ἄγχοντες. fauces reste injecto elidentes. Idem.

Τὸν μηνυτὴν] Grave verbum h. l. nemo sanus et causa sua fidens, indicem sustulerit, ea testatum, quæ iste imprimis indicari cupiat, et quo ad judices adducendo adversarium percellere, causamque suam firmare, quam maxime possit. ecquis ultro pugionem abjiciat, quo possit hostem confodere? Idem.

Δι᾽ αὐτοῦ τοῦ σώματος ἀπολλυμένου] Fero, sed sic ut αὑτοῦ cum aspero exaretur, illique voci comma addatur. veritatem demonstratione fraudabat per semet, quippe cujus corpus peribat. Exiret tamen sententia ni fallor aliquanto elegantior, si sic legeretur, δι᾽ αὑτοῦ, τῷ σώματι συναπολλύμενον, ut hic accusativus ad ἔλεγχον redeat. quæ demonstratio una cum ipso corpore, unde illa peti poterat, peribat. Possit quoque legi: ἀπεστέρει ἐμὲ διὰ τοῦ σώματος ἀπολλυμένου. Idem.

Κάλει] Post κάλει videtur titulus ΜΑΡΤΥΡΕΣ deesse. Idem.

εἶπεν, ἢ ᾧ ὕστερον; καὶ πότερ᾽ ἀληθῆ ἐστὶν, ὅτ᾽ ἔφη με εἰργάσθαι τὸ ἔργον, ἢ ὅτ᾽ οὐκ ἔφη; εἰ μὲν γὰρ ἐκ τοῦ εἰκότος ἐξετασθῆναι δεῖ τὸ πρᾶγμα, οἱ ὕστεροι λόγοι ἀληθέστεροι φαίνονται. ἐψεύδετο μὲν γὰρ ἐπ᾽ ὠφελείᾳ τῇ ἑαυτοῦ· ἐπειδὴ δὲ [1] τῷ ψεύδεσθαι ἀπώλλυτο, ἡγήσατο τἀληθῆ κατειπὼν διὰ τούτου σωθῆναι ἄν. τῆς μὲν οὖν ἀληθείας οὐκ ἦν αὐτῷ τιμωρὸς οὐδείς· οὐ γὰρ παρὼν ἐγὼ ἐτύγχανον, ὧπερ σύμμαχος ἦν ἡ ἀλήθεια τῶν ὑστέρων λόγων· τοὺς δὲ προτέρους λόγους τοὺς κατεψευσμένους ἦσαν οἱ ἀφανιοῦντες, ὥστε μηδέποτε εἰς τὸ ἀληθὲς καταστῆναι. καὶ οἱ μὲν ἄλλοι καθ᾽ ὧν μηνύῃ ἄν τις, αὐτοὶ κλέπτουσι τοὺς μηνύοντας,
34. 1 κᾆτα ἀφανίζουσιν· αὐτοὶ δὲ οὗτοι οἱ ἀπάγοντες καὶ ζητοῦντες τὸ πρᾶγμα τὸν κατ᾽ ἐμοῦ μηνυτὴν ἠφάνισαν. καὶ εἰ μὲν ἐγὼ τὸν ἄνδρα ἠφάνισα ἢ μὴ ἤθελον ἐκδοῦναι τούτοις 724
ἢ ἄλλον τινὰ ἔφευγον ἔλεγχον, αὐτοὶ δὴ τούτοις ἰσχυροτάτοις εἰς τὰ πράγματα ἐχρῶντο, καὶ ἦν ταῦτα αὐτοῖς μέγιστα τεκμήρια κατ᾽ ἐμοῦ· νῦν δὲ, ὁπότε αὐτοὶ οὗτοι προκαλουμένων τῶν φίλων τῶν ἐμῶν ταῦτ᾽ ἔφυγον, ἐμοὶ δήπου κατὰ τούτων εἶναι χρὴ ταῦτα τὰ τεκμήρια, ὡς οὐκ ἀληθῆ τὴν αἰτίαν ἐπέφερον, ἣν ᾤοντο.

ζ΄. Ἔτι δὲ καὶ τάδε λέγουσιν, ὡς ὡμολόγει ὁ ἄνθρωπος βασανιζόμενος συναποκτεῖναι τὸν ἄνδρα. ἐγὼ δέ φημι ταῦτα μὲν οὐ λέγειν αὐτόν· ὅτι δὲ ἐξάγοι ἐμὲ καὶ τὸν ἄνδρα ἐκ τοῦ πλοίου, καὶ ὅτι ἤδη τεθνεῶτα αὐτὸν ὑπ᾽ ἐμοῦ ἐνθεὶς εἰς τὸ πλοῖον καταποντώσειε. καίτοι σκέψασθε ὅτι πρῶτον μὲν, πρὶν ἐπὶ τὸν τροχὸν ἀναβῆναι, ὁ ἀνὴρ μέχρι τῆς ἐσχάτης ἀνάγκης τῇ ἀληθείᾳ ἐχρῆτο καὶ ἀπέλυέ με τῆς αἰτίας· ἐπειδὴ δὲ ἐπὶ τὸν τροχὸν ἀνέβη, τῇ ἀνάγκῃ χρώμενος ἤδη κατεψεύδετό μου, βουλόμενος ἀπηλ-

[1] Deest τῷ.

Ψεύδεσθαι] Π. διὰ τοῦ ψεύδεσθαι. H. Stephan. Maxime verosimile mihi videtur post ψεύδεσθαι deesse v. διαπειραθείς. v. p. 96. v. 6. Reisk.

Ἦσαν] Post ἦσαν adde, seu mavis tacita cogitatione, seu literis expressis, οὗτοι αὐτοί. Idem.

Καταστῆναι] Subaudi αὐτοὺς [scil. τοὺς λόγους] αὐτοῖς. Idem.

Αὐτοὶ] Melius conveniret οὗτοι. quod eleganter redundabit. potest enim oratio vel sine eo salva et integra esse. Sed αὐτοὶ prorsus omni vi caret. Idem.

Ἀπάγοντες] Scil. ἐμὲ εἰς τὸ δεσμωτήριον. τῇ ἀπαγωγῇ κατ᾽ ἐμοῦ χρησάμενοι. Idem.

ζ΄. Τῇ ἀνάγκῃ χρώμενος] Potest ferri, pro τ. ἀ. περιπεσών. et speciem nonnullam probabilitatis ei addit præmissum τῇ ἀληθείᾳ χρώμενος. cui hoc videri possit ex adverso oppositum. dura tamen meis quidem auribus meoque stomacho hæc

λάχθαι τῆς βασάνου· ἐπειδὴ δὲ ἐπαύσατο βασανιζόμενος,
οὐκέτι ἔφη με τούτων εἰργάσθαι οὐδὲν, ἀλλὰ τὸ τελευταῖον
[1] ἀπῴμωξεν ἐμέ τε καὶ αὑτὸν ὡς ἀδίκως ἀπολλυμένους, οὐ
χάριτι τῇ ἐμῇ — πῶς γάρ; ὅς γε κατεψεύσατο —, ἀλλ᾽
725 ἀναγκαζόμενος ὑπὸ τοῦ ἀληθοῦς καὶ βεβαιῶν τοὺς πρώ-
τους λόγους ὡς ἀληθεῖς εἰρημένους. ἔπειτα δὲ ὁ ἕτερος ἄν-
θρωπος, ἐν τῷ αὐτῷ πλοίῳ πλέων καὶ παρὼν διὰ τέλους
καὶ συνών μοι, τῇ αὐτῇ βασάνῳ βασανιζόμενος, τοῖς μὲν
πρώτοις καὶ τοῖς ὕστερον λόγοις τοῖς τοῦ ἀνθρώπου συνεφέ-
ρετο ὡς ἀληθέσιν οὖσι — διὰ τέλους γάρ με ἀπέλυε —, τοῖς
δ᾽ ἐπὶ τοῦ τροχοῦ λεγομένοις, οὓς ἐκεῖνος ἀνάγκῃ μᾶλλον ἢ
ἀληθείᾳ ἔλεγε, τούτοις δὲ διεφέρετο. ὁ μὲν γὰρ ἐκβάντα
[2] με ἔφη ἐκ τοῦ πλοίου ἀποκτεῖναι τὸν ἄνδρα, καὶ αὐτὸς ἤδη
τεθνεῶτα συνανελεῖν μοι· ὁ δὲ τὸ παράπαν ἔφη οὐκ ἐκβῆναί
με ἐκ τοῦ πλοίου. καίτοι τὸ εἰκὸς σύμμαχόν μοι ἐστίν. οὐ
γὰρ δήπου οὕτω κακοδαίμων ἐγὼ, ὥστε τὸ μὲν ἀποκτεῖναι
τὸν ἄνδρα προὐνοησάμην μόνος, ἵνα μοι μηδεὶς συνειδείη, ἐν
ᾧ μοι ὁ πᾶς κίνδυνος ἦν· ἤδη δὲ πεπραγμένου μοι τοῦ ἔργου
μάρτυρας καὶ συμβούλους ἐποιούμην. καὶ ἀπέθανε μὲν
ἀνὴρ οὑτοσὶ ἐγγὺς τῆς θαλάσσης καὶ τῶν πλοίων, ὡς ὁ
τούτων λόγος ἐστίν· ὑπὸ δὲ ἑνὸς ἀνδρὸς ἀποθνήσκων οὔτ᾽
ἀνέκραγεν οὔτ᾽ αἴσθησιν οὐδεμίαν ἐποίησεν οὔτε τοῖς ἐν τῇ
γῇ οὔτε τοῖς ἐν τῷ πλοίῳ; καὶ μὴν πολλῷ πλέον γε ἀγνο-
726 εῖν ἔστι νύκτωρ ἢ μεθ᾽ ἡμέραν, ἐπ᾽ ἀκτῆς ἢ κατὰ πόλιν·
καὶ μὴν ἔτι ἐγρηγορότων φασὶν ἐκβῆναι τὸν ἄνδρα ἐκ τοῦ
πλοίου. ἔπειτα ἐν τῇ γῇ μὲν ἀποθανόντος, ἐντιθεμένου δὲ
εἰς τὸ πλοῖον, οὔτε ἐν τῇ γῇ σημεῖον οὐδὲ αἷμα ἐφάνη οὔτε
ἐν τῷ πλοίῳ, νύκτωρ μὲν ἀναιρεθέντος, νύκτωρ [3] δ᾽ ἐντιθε-

[1] ἀπώμοσεν [2] ἔφη με [3] δὲ τιθεμένου

cum sit dictio, malim τῆς ἀνάγκης ἡττώμενος τότ᾽ ἤδη. Idem.

Ὕστερον] Id est, τοῖς μετὰ τὸν τροχὸν εἰρημένοις. malim tamen ὑστέροις legi. *posterioribus*, pro *postremis*. Idem.

Ἀγνοεῖν] h. l. est, ἀγνοίᾳ ἁμαρτάνειν, errore, imprudentia labi. non cavere aliquid, cujus te postmodum facti pœniteat, cum corrigere jam non amplius liceat. ut, si, ut hoc utar, qui aliquem interemerit, is cruorem abstergere a manibus, gladiove aut vestibus, sive oblitus sit, sive nil curarit. Hoc est ἀγνόημα, quod capitale jam haud paucis fuit. Ejusmodi lapsus, ait sophista, multo crebriores evenire de nocte, quam de die; quia de die facilius maculas cruoris sparsi observamus; item in litore crebrius sic peccari, quam in urbe. quia in litore deserto carendum est necessario non paucis cautelæ adminiculis, quibus urbes abundant; quo pertinent instrumenta peremtum tumulandi, aliisve modis conspectui hominum subducendi, notasque cædis obliterandi. Idem.

Δὲ τιθεμένου] Malim δ᾽ ἐντιθ. ut modo

μένου εἰς τὸ πλοῖον. ἢ δοκεῖ ὑμῖν ἄνθρωπος δύνασθαι ἐν
τοιούτῳ πράγματι ὢν τά τ' ἐν τῇ γῇ ὄντα ἀναξύσαι καὶ
τὰ ἐν τῷ πλοίῳ ἀποσπογγίσαι, ἃ οὐδὲ μεθ' ἡμέραν τις
οἷός τ' ἐγένετο, ἔνδον ὢν αὐτοῦ καὶ μὴ πεφοβημένος, τὸ
παράπαν ἀφανίσαι; ταῦτα, [1] ὦ ἄνδρες, πῶς εἰκότα ἐστίν;
ὃ δὲ καὶ μάλιστα δεῖ ἐνθυμεῖσθαι, —καὶ μή μοι ἄχθεσθε,
ἂν ὑμᾶς πολλάκις ταὐτὰ διδάξω· μέγας γὰρ ὁ κίνδυνός
ἐστι, καθ' ὅ τι δ' ἂν ὑμεῖς ὀρθῶς γνῶτε, κατὰ τοῦτο σώ- 727
ζομαι, καθ' ὅ τι δ' ἂν ψευσθῆτε τἀληθοῦς, κατὰ τοῦτο
ἀπόλλυμαι. μὴ οὖν ἐξέληται τοῦτο ὑμῶν μηδεὶς, ὅτι
τὸν μηνυτὴν ἀπέκτειναν, καὶ διετείναντο αὐτὸν μὴ εἰσελ-
θεῖν εἰς ὑμᾶς, μηδ' ἐμοὶ ἐγγενέσθαι παρόντι ἄξαι τὸν ἄν-
δρα καὶ βασανίσαι αὐτόν. καίτοι πρὸς τούτων ἦν τοῦτο. νῦν
δὲ πριάμενοι τὸν ἄνδρα, ἰδίᾳ ἐπὶ σφῶν αὐτῶν ἀπέκτειναν
τὸν μηνυτὴν, οὔτε τῆς πόλεως ψηφισαμένης, οὔτε αὐτόχειρα
5. ὄντα τοῦ ἀνδρὸς, ὃν ἐχρῆν δεδεμένον αὐτοὺς φυλάσσειν, ἢ
τοῖς φίλοις τοῖς ἐμοῖς [2] ἐξεγγυῆσαι, ἢ τοῖς ἄρχουσι τοῖς
ὑμετέροις παραδοῦναι καὶ ψῆφον περὶ αὐτοῦ γενέσθαι. νῦν
δὲ αὐτοὶ καταγνόντες τὸν θάνατον τοῦ ἀνδρὸς ἀπεκτείνατε·
ὃ οὐδὲ πόλει ἔξεστιν, ἄνευ Ἀθηναίων οὐδένα θανάτῳ ζη-
μιῶσαι. καὶ τῶν μὲν ἄλλων λόγων τῶν ἐκείνου τουτουσὶ
κριτὰς ἠξιώσατε γενέσθαι, τῶν δὲ ἔργων αὐτοὶ δικασταὶ
γίνεσθε. καίτοι οὐδὲ οἱ τοὺς δεσπότας ἀποκτείναντες, ἐὰν
ἐπ' αὐτοφώρῳ ληφθῶσιν, οὐδ' οὗτοι θνήσκουσιν ὑπ' αὐτῶν
τῶν προσηκόντων, ἀλλὰ παραδιδόασιν αὐτοὺς τῇ ἀρχῇ 728
κατὰ νόμους ὑμετέρους πατρίους. εἴπερ γὰρ καὶ μαρτυρεῖν

[1] πῶς εἰκότα, ὦ ἄνδρες,

[2] ἐγγυῆσαι

præcesserat. Idem.

Γῇ ὄντα] Si necesse est, feremus, ut alia multa cruda et incondita. Mihi tamen credibilius est Antiphontem sic reliquisse: ἐν τῇ γῇ ἴχνη [scil. τοῦ φόνου] πάντα ἀναξύσαι. Idem.

Καθ' ὅ,τι δ' ἂν] Pro δὲ sententia postulat γάρ. Idem.

Παρόντι] Malim παριόντι. *prodeunti ad vos.* Idem.

Οὐδὲ πόλει ἔξεστιν ἄνευ Ἀθηναίων] Notabilis locus, unde colligatur, nulli civitati earum, quæ in societate Atheniensium essent, licuisse, Atheniensibus insciis et invitis, quemquam extremo supplicio afficere. Idem. Petitus in Comment. in LL. Attic. l. vii. tit. i. §. v. ita supplet locum: ὃ οὐδὲ πόλει ἔξεστιν ἄνευ ψήφου, Ἀθηναίων &c.

Γίνεσθε] Malim ἐγίνεσθε in imperfecto. Reisk.

Παραδιδόασιν αὐτοὺς] Scil. οἱ προσήκοντες τῶν δεσποτῶν τῶν φονευθέντων τοὺς δούλους τοὺς φονεύσαντας. Idem.

Τῇ ἀρχῇ] Post ἀρχῇ videtur κολασθῆναι deesse. Idem.

Μαρτυρεῖν] Τὸν φόνον κατά τινος μαρτυρεῖν, videtur esse, testimonio suo coram judicibus prodere atque confirmare, cædem ab aliquo esse commissam. [Malim sic interpungi et legi: καὶ μαρτυρεῖν ἔξεστι δούλῳ κατὰ τοῦ ἐλευθέρου, καὶ τὸν φόνον [scil.

ἔξεστι δούλῳ κατὰ τοῦ ἐλευθέρου τὸν φόνον, καὶ τῷ δε-
σπότῃ, ἂν δοκῇ, ἐπεξελθεῖν ὑπὲρ τοῦ δούλου, καὶ ἡ ψῆφος
ἴσον δύναται τῷ δοῦλον ἀποκτείναντι καὶ [1] τῷ ἐλεύθερον,
εἰκός τοι καὶ ψῆφον γενέσθαι περὶ αὐτοῦ ἦν, καὶ μὴ ἄκρι-
τον ἀποθανεῖν αὐτὸν ὑφ᾽ ὑμῶν. ὥστε πολλῷ ἂν ὑμεῖς δι-
καιότερον κρίνοισθε ἢ ἐγὼ νῦν [2] φεύγω ὑφ᾽ ὑμῶν ἀδίκως.

ή. Σκοπεῖτε δὲ, ὦ ἄνδρες, καὶ ἐκ τοῖν λόγοιν τοῖν ἀνδροῖν
ἑκατέροιν τοῖν βασανισθέντοιν τὸ δίκαιον καὶ τὸ εἰκός. ὁ
μὲν γὰρ δοῦλος δύο λόγω ἔλεγε· τοτὲ μὲν ἔφη με εἰργά-
729 σθαι τὸ ἔργον, τοτὲ δὲ οὐκ ἔφη· ὁ δὲ ἐλεύθερος οὐδέπω νῦν
εἴρηκε περὶ ἐμοῦ φλαῦρον οὐδὲν, τῇ αὐτῇ βασάνῳ βασανιζό-
μενος· τοῦτο μὲν γὰρ οὐκ ἦν αὐτῷ ἐλευθερίαν [3] προτείναντας
ὥσπερ τὸν ἕτερον πεῖσαι, τοῦτο δὲ μετὰ τοῦ ἀληθοῦς ἐβού-
λετο κινδυνεύων πάσχειν εἴ τι δέοι, ἐπεὶ τό γε συμφέρον καὶ
οὗτος ἠπίστατο, ὅτι τότε παύσαιτο στρεβλούμενος, ὁπότε
εἴποι τὰ τούτοις δοκοῦντα. ποτέρῳ οὖν εἰκός ἐστι πιστεῦσαι,
τῷ διὰ τέλους τὸν αὐτὸν λόγον ἀεὶ λέγοντι, ἢ τῷ τοτὲ μὲν
φάσκοντι τοτὲ δ᾽ οὔ; ἀλλὰ καὶ ἄνευ βασάνου τοιαύτης οἱ
τοὺς αὐτοὺς αἰεὶ περὶ τῶν αὐτῶν λόγους λέγοντες πιστότε-
ροί εἰσι τῶν διαφερομένων σφίσιν αὐτοῖς. ἔπειτα δὲ καὶ ἐκ
τῶν λόγων τῶν τοῦ ἀνθρώπου μερὶς ἑκατέρῳ ἴση ἐστὶ, τού-
τοις μὲν τὸ φάσκειν, ἐμοὶ δὲ τὸ μὴ φάσκειν, ἔκ τε ἀμφοῖν
730 τοῖν ἀνδροῖν τοῖν βασανισθέντοιν· ὁ μὲν γὰρ ἔφησεν, ὁ δὲ

[1] τὸν [2] Deest φεύγω. [3] προτείναντι

ἔξεστι] τῷ δεσπότῃ, ἂν δοκῇ, [scil. αὐτῷ] ἐπεξελθεῖν ὑπὲρ τοῦ δούλου. si tantum, ait, servis defertur a legibus reip. nostræ, ut iis liceat adversus ingenuos testari, item, si quis servus interemtus fuerit a cive, eumque civem illa de servi sui cæde in jus vocare voluerit herus ejus, ut id illi liceat: neque leniori pœna homicida servi, quam ingenui, afficiatur: consentaneum fuerat etiam hoc de servo legitimum judicium haberi. *In Access. ad sua Antiph.*] Idem.

Ὑπὲρ τοῦ δούλου] Subaudi τοῦ φονευθέντος. Idem.

Καὶ τὸν ἐλεύθερον] Pro accus. articuli τὸν malim dativum τῷ. καὶ τῷ ἐλεύθερον scil. ἀποκτείναντι. ut modo τῷ δοῦλον. Idem.

Αὐτοῦ] Illo de servo, quem vos, adversus me testatum, de medio sustulistis. Idem.

ή. Τοτὲ μὲν] Adde γάρ. Idem.

Τῇ αὐτῇ βασάνῳ βασανιζόμενος] Scil. ᾗ ὁ δοῦλος ἐβασανίζετο. sed num ingenui rotæ imponebantur? Idem.

Προτείναντι] Imo vero προτείναντας, scil. ὑμᾶς. vos non poteratis eum adducere, spe libertatis ostendenda. Idem.

Ἑκατέρῳ] Scil. ἡμῶν. utrique nostrum, tam mihi, quam adversariis. Idem.

Τοῖν βασανισθέντοιν] Verba hæc cum circumjectis sententiam prorsus eandem produnt, atque prius membrum. Sed liquet sophisma hic quæri; ego nullus dubito leg. esse: ἔκ τε ἀμφοῖν τοῖν ἀνδροῖν τοῖν βασανισθέντοιν ἐμοὶ μερὶς κρείσσων. ὁ μὲν γὰρ τοτὲ μὲν ἔφησε, τοτὲ δ᾽ οὐκ ἔφησεν· ὁ δὲ διὰ τέλους ἔξαρνος ἦν. Ambo nos, ait, ego et adversarii mei, partimur hos in causa nostra tortos; sed partimur eos portione non pari. Nam portio mea major est, quam illorum. Duorum enim testium, repugnantia sibi testatorum, alterum ego

25 διὰ τέλους ἔξαρνος ἦν. καὶ μὲν δὴ τὰ ἐξ ἴσου γενόμενα τοῦ φεύγοντός ἐστι μᾶλλον ἢ τοῦ διώκοντος, εἴπερ γε καὶ τῶν ψήφων ὁ ἀριθμὸς ἐξ ἴσου γενόμενος τὸν φεύγοντα μᾶλλον ὠφελεῖ ἢ τὸν διώκοντα.

θ'. Ἡ μὲν βάσανος, ὦ ἄνδρες, τοιαύτη ἐγένετο, ᾗ οὗτοι πιστεύοντες εὖ εἰδέναι φασὶν ὑπ' ἐμοῦ ἀποθανόντα τὸν ἄνδρα. καίτοι τὸ παράπαν ἔγωγ' ἂν εἴ τι συνῄδειν ἐμαυτῷ, καὶ εἴ τι [1] ἐμοὶ τοιοῦτον εἴργαστο, ἠφάνισ' ἂν τὼ ἀνθρώπω,
30 ὅτε ἐπ' ἐμοὶ ἦν τοῦτο μὲν εἰς τὴν Αἶνον ἀπάγειν ἅμα ἐμοί, τοῦτο δὲ εἰς τὴν ἤπειρον διαβιβάσαι, καὶ μὴ ὑπολείπεσθαι μηνυτὰς κατ' ἐμαυτοῦ τοὺς συνειδότας. φασὶ δὲ γραμματίδιον εὑρεῖν ἐν τῷ πλοίῳ, ὃ ἔπεμπον ἐγὼ Λυκίνῳ, ὡς ἀπο- 731
κτείναιμι τὸν ἄνδρα. καίτοι τί ἔδει με γραμματίδιον πέμπειν, αὐτοῦ συνειδότος τοῦ τὸ γραμματίδιον φέροντος; ὥστε τοῦτο μὲν σαφέστερον αὐτοῖς ἔμελλεν ἐρεῖν ὁ εἰργα-
35 σμένος, τοῦτο δὲ οὐδὲν ἔδει κρύπτειν αὐτόν· ἃ γὰρ [2] μὴ οἷόν τε εἰδέναι τὸν φέροντα, ταῦτ' ἄν τις μάλιστα [3] συγγράψας πέμψειεν. ἔπειτα δέ, ὅ τι μὲν μακρὸν εἴη πρᾶγμα, τοῦτο ἂν τις ἀναγκασθείη γράψαι τῷ μὴ διαμνημονεύειν τὸν ἀπαγγέλλοντα ὑπὸ πλήθους· τοῦτο δὲ βραχὺ ἦν ἀπαγγεῖλαι, ὅτι τέθνηκεν ὁ ἀνήρ. ἔπειτα ἐνθυμεῖσθε, ὅτι διάφερον ἦν τὸ γραμματίδιον τῷ βασανισθέντι, διάφορος δ' ὁ ἄνθρωπος
40 τῷ γραμματίῳ· ὁ μὲν γὰρ βασανιζόμενος αὐτὸς ἔφη ἀποκτεῖναι, τὸ δὲ γραμμάτιον ἀνοιχθὲν ἐμὲ τὸν ἀποκτείναντα [4] ἐμήνυε. καίτοι ποτέρῳ χρὴ πιστεῦσαι; τὸ μὲν γὰρ πρῶ-

[1] Deest ἐμοί. [2] Deest μή. [3] συγγράψειεν. ἔπειτα [4] ἐμήνυεν.

cum adversariis communem ex dimidio habeo. nam qui me cædis insimularat, is idem me rursus eodem ore cædis absolvit. in hoc ergo μερὶς nostra est ἴση. At in altero illo, qui constanter negavit me homicidam esse, ego πλεονεκτῶ. portio mea est melior et potior. nam hunc ego solus possideo, illi nihil ejus participant. Atqui (καὶ μὲν δὴ) pergit actor, etiamsi ego, οὐδὲν ἐπλεονέκτουν ἕνεκα τῶν μαρτύρων, ratione testium nullo modo adversariis præstarem, quibus utique præsto, sed æqualia prorsus essent utrinque momenta, ego tamen vel sic quoque potior essem jure. Nam in æqualitate momentorum semper in favorem reorum pronunciatur. IDEM.

Τοῦ φεύγοντος] Id est, πρὸς τοῦ φεύγοντος. IDEM.

θ'. Ὥστε τοῦτο μὲν σαφέστερον] Malim sic legi: ᾧ γε [Lycino puta] σαφέστερον αὐτὸς [in nominat. singul.] ἔμελλεν. redit αὐτὸς ad facinoris conscium, perlatorem literarum, ad quem eundem proximum quoque αὐτὸν redit. IDEM.

Οἷόν τε] Imo vero οὐχ οἷόν τε, nequit scire, vel, non licet, ut ejus scientiæ committatur, breviter, *non debet scire*, quæ eum nescire e re nostra est. IDEM.

Διαφέρον] Malim διάφορον, ut statim post. IDEM.

Τῷ βασανισθέντι] Id est, τῇ μηνύσει τοῦ βασανισθέντος. IDEM.

Γραμματίῳ] Videtur aut γραμματείῳ per diphthongum præstare, aut γραμματιδίῳ. IDEM.

τον οὐχ εὗρον ἐν τῷ πλοίῳ ζητοῦντες τὸ γραμματίδιον,
ὕστερον δέ. τότε μὲν γὰρ οὔπω οὕτως ἐμεμηχάνητο αὐτοῖς·
ἐπειδὴ δὲ ὁ ἄνθρωπος ὁ πρότερον βασανισθεὶς οὐδὲν ἔλεγε
κατ᾽ ἐμοῦ, τότε εἰσβάλλουσιν εἰς τὸ πλοῖον τὸ γραμματί-
διον, ἵνα ταύτην ἔχοιεν ἐμοὶ τὴν αἰτίαν ἐπιφέρειν· ἐπειδὴ δ᾽ 136.
[1] ἀνεγνώσθη τὸ γραμματίδιον καὶ ὁ ὕστερος βασανιζόμε-
732 νος οὐ συνεφέρετο τῷ γραμματιδίῳ, οὐκ ἔθ᾽ οἷόν τ᾽ ἦν ἀφα-
νίσαι τὰ ἀναγνωσθέντα. εἰ γὰρ ἡγήσαντο τὸν ἄνδρα πεί-
σειν ἀπὸ πρώτης καταψεύδεσθαί μου, οὐκ ἄν ποτ᾽ ἐμη-
χανήσαντο τὰ ἐν τῷ γραμματιδίῳ. καί μοι μάρτυρας
τούτων κάλει.

ΜΑΡΤΥΡΕΣ.

ί. Τίνος γε δὴ ἕνεκα τὸν ἄνδρα ἀπέκτεινα; οὐδὲ γὰρ ἔχθρα οὐδεμία ἦν ἐμοὶ καὶ ἐκείνῳ. λέγειν δὲ τολμῶσιν ὡς ἐγὼ χάριτι τὸν ἄνδρα ἔκτεινα. καὶ τίς πώποτε χαριζόμενος ἑτέρῳ τοῦτο εἰργάσατο; οἶμαι [2] μὲν γὰρ οὐδένα· ἀλλὰ δεῖ μεγάλην τὴν ἔχθραν ὑπάρχειν τῷ τοῦτο μέλλοντι ποιήσειν, καὶ τὴν πρόνοιαν ἐκ πολλῶν εἶναι φανερὰν ἐπιβουλευομένην. ἐμοὶ δὲ κἀκείνῳ οὐκ ἦν ἔχθρα οὐδεμία. ἀλλὰ χρήματα ἔμελλον λήψεσθαι ἀποκτείνας αὐτόν; ἀλλ᾽ οὐκ ἦν αὐτῷ. [3] εἶεν· ἀλλὰ δείσας περὶ ἐμαυτοῦ μὴ αὐτὸς παρ᾽ ἐκείνου τοῦτο πάθοιμι; καὶ γὰρ ἂν τῶν τοιούτων ἕνεκά τις ἀναγκασθείη τοῦτο ἐργάσασθαι. ἀλλ᾽ οὐδέν μοι τοιοῦτον ὑπῆρκτο εἰς αὐτόν. ἀλλὰ σοὶ μᾶλλον ἐγὼ τὴν πρόφασιν ταύτην ἔχοιμ᾽ ἂν εἰκότως μετὰ τῆς ἀληθείας ἀναθεῖναι, ὅτι χρημάτων ἕνεκα ζητεῖς ἐμὲ ἀποκτεῖναι, μᾶλλον ἢ σὺ ἐμοὶ ἐκεῖνον· καὶ πολὺ ἂν δικαιότερον [4] ἁλοίης τοῦ φόνου ἐμὲ
733 ἀποκτείνας ὑπὸ τῶν ἐμοὶ προσηκόντων, ἢ ἐγὼ ὑπὸ σοῦ καὶ
τῶν ἐκείνου ἀναγκαίων. ἐγὼ μὲν γάρ σοι φανερὰν τὴν πρόνοιαν εἰς ἐμὲ ἀποδείκνυμι, σὺ δέ με ἐν ἀφανεῖ λόγῳ ζητεῖς ἀπολέσαι.

ιά. Ταῦτα μὲν ὑμῖν λέγω, ὡς [5] αὐτῷ μοι πρόφασιν

[1] ἀνεστάθη [2] Deest μέν. [3] Deest εἶεν. [4] ἁλῴης σὺ τοῦ
[5] αὐτός μοι πρόνοιαν

ί. Λήψεσθαι] Id est, εἰρήσειν παρ᾽ αὐτῷ, καὶ ταῦτα ἀφελόμενος σφετεριεῖσθαι. Idem.

Ἢ σὺ ἐμοὶ ἐκεῖνον] Malim ἢ σὺ ἐμοὶ [scil. ἔχοις ἀναθεῖναι τὴν πρόφασιν], ὅτι ἐκεῖνον [scil. ἐγὼ ἀπέκτεινα]. quam tu in me conferre possis hanc criminationem, a me illum occisum esse. Idem.

οὐδεμίαν ἔχει ἀποκτεῖναι τὸν ἄνδρα· δεῖ δέ με καὶ ὑπὲρ
Λυκίνου ἀπολογήσασθαι, ὡς ἔοικεν, ἀλλ᾽ οὐχ ὑπὲρ αὑτοῦ
μόνον, ὡς οὐδ᾽ ἐκεῖνον εἰκότως αἰτιῶνται. λέγω τοίνυν ὑμῖν
ὅτι ταὐτὰ ὑπῆρχεν αὐτῷ εἰς ἐκεῖνον ἅπερ ἐμοί· οὔτε γὰρ
χρήματα ἦν αὐτῷ ὁπόθεν ἂν ἔλαβεν ἀποκτείνας ἐκεῖνον,
οὔτε κίνδυνος αὐτῷ ὑπῆρχεν οὐδεὶς ὄντινα [1] διέφευγε ἀπο-
θανόντος ἐκείνου. τεκμήριον δὲ μέγιστον ὡς οὐκ ἐβούλετο
αὐτὸν ἀπολέσαι· ἐξὸν γὰρ αὐτῷ ἐν ἀγῶνι καὶ κινδύνῳ με-
γάλῳ καταστήσαντι μετὰ τῶν νόμων τῶν ὑμετέρων ἀπο-
λέσαι ἐκεῖνον, εἴπερ προωφείλετο αὐτῷ κακόν, καί τό τε 734
ἴδιον τὸ αὑτοῦ διαπράξασθαι καὶ τῇ πόλει τῇ [2] ὑμετέρᾳ
χάριν καταθέσθαι, εἰ ἐπέδειξεν ἀδικοῦντα ἐκεῖνον, οὐκ
ἠξίωσεν, ἀλλ᾽ οὐδ᾽ ἦλθεν ἐπὶ τοῦτο. καίτοι καλλίων γε
ἦν ὁ κίνδυνος αὐτῷ.

ΜΑΡΤΥΡΕΣ.

ἀλλὰ γὰρ ἐνταῦθα μὲν ἀφῆκεν [3] αὐτόν· οὐ γὰρ ἔδει κινδυ-
νεύειν αὐτὸν περί τε αὑτοῦ καὶ ἐμοῦ· ἐνταῦθα δ᾽ ἐπεβού-
λευεν, ἐν ᾧ γνωσθεὶς ἂν ἀπεστέρει μὲν ἐμὲ τῆς πατρίδος,
ἀπεστέρει δὲ αὑτὸν ἱερῶν καὶ ὁσίων καὶ τῶν ἄλλων ἅπερ
μέγιστα καὶ περὶ πλείστου ἐστὶν ἀνθρώποις. ἔπειτα δ᾽ εἰ
καὶ ὡς μάλιστα ἐβούλετο αὐτὸν ὁ Λυκῖνος τεθνάναι —εἶμι
γὰρ καὶ ἐπὶ τὸν τῶν κατηγόρων λόγον—, οὗ αὐτὸς οὐκ
ἠξίου αὐτόχειρ γενέσθαι, τοῦτο τὸ ἔργον ἐγώ ποτ᾽ ἂν ἐπεί-
σθην ἀντ᾽ ἐκείνου ποιῆσαι; πότερα ὡς ἐγὼ μὲν ἦν τῷ
σώματι ἐπιτήδειος διακινδυνεύειν, ἐκεῖνος δὲ χρήμασι τὸν
ἐμὸν κίνδυνον ἐκπρίασθαι; οὐ δῆτα· τῷ μὲν γὰρ οὐκ ἦν
χρήματα, ἐμοὶ δὲ ἦν· ἀλλ᾽ αὐτὸ τὸ ἐναντίον ἐκεῖνος τοῦτο

[1] ἔφευγε [2] ἡμετέρᾳ [3] αὐτὸν, οὗπερ οὐκ ἔδει

Ἔχει] Sententia postulat σύνοιδα. quo certi sitis (alloquitur judices) me mihi conscium non esse cædis præmeditatæ in hoc homine Herode a me commissæ. Et hanc lectionem in Latinis meis expressi. Idem.

Αὐτοῦ] Γέγραπται· αὑτοῦ. H. Stephan. Dedi cum spiritu aspero, id est, ὑπὲρ ἐμαυτοῦ. non me solum, ut videtur, sed Lycinum quoque purgare me decet. nam et ille quoque præter fas insimulatus fuit. Idem.

Αὐτῷ ὁπόθεν] Redit ad Lycinum. idem est ac si dixisset: οὐ γὰρ εἶχεν οὐδ᾽ αὐτὸς, ὁπόθεν ἔλαβεν ἂν μισθὸν τοῦ ἀποκτεῖναι τὸν Ἡρώδην. nam non ille magis, quam ego, mercedem cædis unde aufferret, habebat. Idem.

Ἀλλὰ γὰρ—] Est ironica argumentatio ex absurdo. Idem.

Οὐ δῆτα --- ἐπεὶ ἐκεῖνός γ᾽] Videntur verba sic convenientius ordinari posse: οὐ δῆτα, ἀλλ᾽ αὐτὸ τὸ ἐναντίον. ἐκεῖνος τοῦτο — ἢ ἐγὼ ὑπὸ τούτου. τῷ μὲν γὰρ οὐκ ἦν χρήματα, ἐμοὶ δ᾽ ἦν. ἐπεὶ ἐκεῖνός γ᾽—. Idem.

θᾶσσον ἂν ὑπ' ἐμοῦ ἐπείσθη κατά γε τὸ εἰκὸς ἢ ἐγὼ ὑπὸ
τούτου, ἐπεὶ ἐκεῖνός γ' ἑαυτὸν οὐδ' ὑπερήμερον γενόμενον
ἑπτὰ μνῶν δυνατὸς ἦν λύσασθαι, ἀλλ' οἱ φίλοι αὐτὸν ἐλύ-
σαντο. καὶ μὲν δὴ καὶ τῆς χρείας τῆς ἐμῆς καὶ τῆς Λυκίνου
735 τοῦτο ὑμῖν μέγιστον τεκμήριόν ἐστιν, ὅτι οὐ σφόδρα ἐχρώ-
μην ἐγὼ Λυκίνῳ φίλῳ, ὡς πάντα ποιῆσαι ἂν τὰ ἐκείνῳ
δοκοῦντα· οὐ γὰρ δήπου ἑπτὰ μὲν μνᾶς οὐκ ἀπέτισα περὶ
αὐτοῦ δεδεμένου καὶ λυμαινομένου, κίνδυνον δὲ τοσοῦτον
ἀράμενος ἄνδρα ἀπέκτεινα δι' ἐκεῖνον.

ιβ'. Ὡς μὲν οὖν οὐκ αὐτὸς αἴτιός εἰμι τοῦ πράγματος,
οὐδὲ ἐκεῖνος, ἀποδέδεικται καθ' ὅσον ἐγὼ δύναμαι μάλιστα· 137
τούτῳ δὲ χρῶνται πλείστῳ λόγῳ οἱ κατήγοροι, ὅτι ἀφανής
ἐστιν ὁ ἀνήρ, καὶ ὑμεῖς ἴσως περὶ τούτου [1] αὐτοῦ ποθεῖτε
ἀκοῦσαι. εἰ μὲν οὖν τοῦτο εἰκάζειν δεῖ με, ἐξ ἴσου τοῦτό
ἐστι καὶ ὑμῖν καὶ ἐμοί· οὔτε γὰρ ὑμεῖς αἴτιοι τοῦ ἔργου
ἐστὲ οὔτε ἐγώ· εἰ δὲ δεῖ τοῖς ἀληθέσι χρῆσθαι, τῶν εἰργα-
σμένων τινὰ ἐρωτώντων· ἐκείνου γὰρ ἄριστα πύθοιντο. ἐμοὶ
736 [2] μὲν γὰρ τῷ μὴ εἰργασμένῳ τοσοῦτον τὸ [3] μακρότερον τῆς
ἀποκρίσεώς ἐστιν, ὅτι οὐκ εἴργασμαι· τῷ δὲ ποιήσαντι ῥᾳ-
δία ἐστὶν ἡ ἀπόδειξις, καὶ μὴ ἀποδείξαντι [4] εὖ εἰκάσαι. οἱ
μὲν γὰρ πανουργοῦντες ἅμα τε πανουργοῦσι καὶ πρόφασιν
εὑρίσκουσι τοῦ ἀδικήματος· τῷ δὲ μὴ εἰργασμένῳ χαλεπὸν
περὶ τῶν ἀφανῶν εἰκάζειν. οἶμαι δ' ἂν καὶ ὑμῶν ἕκαστον, εἴ

[1] * αὐτοὶ [2] Deest μέν. [3] * μακρότατον [4] εὖ καὶ εἰκάσαι.

Χρείας] Bene si habet, accipi debet pro φιλίας. familiaritatis atque necessitudinis nostræ mutuæ, meæ puta cum Lycino. Idem est ac si dixisset: περὶ τῆς χρείας ἣ ἐχρώμεθα ἡμεῖς ἀλλήλοις. *quod ad consuetudinem nostram mutuam attinet.* Idem.

Λυμαινομένου] Sic dedi de meo. δεδεμένου καὶ λυμαινομένου idem est atque ἐν τοῖς δεσμοῖς λυμαινομένου. multas molestias, cruciatus, morbos tolerante in corpore, in carcere, in vinculis. Vulgatæ dant λυμαιμένου: pro quo Stephanus malebat λελυμένου: sed eum loci fugiebat sententia, quæ hæc est. pro Lycino in carcere tabescente nolui septem minas solvere, quo liber emitteretur. Ad λυμαινομένου subauditur ὑπὸ τῶν δεσμῶν καὶ τῆς κακοπαθείας. Idem.

ιβ'. Ἐρωτώντων] Id est, ἐρωτάτωσαν. Interroganto adversarii mei eorum aliquem, qui facinus patrarunt. Idem.

Εὖ] Videtur hoc initium vocabuli mutilati esse, aut εὔκολον, aut εὐχερές. et facile est quoque probabilia indicia et reperire, et edere, tametsi haud docuerit. verum, ut fatear id, quod sentio, labare videtur sententia. Quid enim ei, qui facinus patrarit, ejusque sibi conscius sit, opus sit conjectare? quæ scimus, ea conjectura non venamur. Videtur auctor non satis aperte sententiam protulisse, quæ, ni fallor, hæc fuit: aut si ille quoque minus docuerit, potuerit tamen, si quidem rei gestæ quodammodo gnarus et conscius sit, vestigia saltim vero similia indicare, quæ prementes alii verum tandem inveniant. Vulgatam qui tuebitur, ei sic erit construendum: καὶ μὴ ἀποδείξαντι [subaudi e proximis ῥᾴδιόν ἐστιν] εὖ καὶ καλῶς εἰκάσαι. Paulo post recurrit εὖ εἰκάζειν. p. 105. v. 5. Verum hanc quoque lectionem eadem urget difficultas, quam modo indicavi. Idem.

Εἴ τίς τινα] Subaudi e proximo ὑμῶν.

τίς τινα ἔροιτο ὅ τι μὴ τύχοι εἰδὼς, τοσοῦτον ἂν εἰπεῖν,
ὅτι οὐκ οἶδεν· εἰ [1] δέ τις περαιτέρω κελεύει λέγειν, ἐν
πολλῇ ἂν ὑμᾶς [2] ἔχεσθαι ἀπορίᾳ δοκῶ. μὴ τοίνυν ἐμοὶ 737
νείμητε τὸ ἄπορον τοῦτο, ἐν ᾧ μηδ' ἂν αὐτοὶ [3] εὐπορεῖτε·
μηδ' ἐὰν εὖ εἰκάζω, ἐν τούτῳ μοι ἀξιοῦτε τὴν ἀπόφευξιν
εἶναι, ἀλλ' ἐξαρκείτω μοι ἐμαυτὸν ἀναίτιον ἀποδεῖξαι τοῦ
πράγματος. ἐν τούτῳ οὖν ἀναίτιος εἰμὶ, οὐκ ἐὰν [4] μὴ ἐξεύ-
ρω ὅτῳ τρόπῳ ἀφανής ἐστιν ἢ ἀπόλωλεν ἀνὴρ, ἀλλ' εἰ μὴ
προσήκει μοι μηδὲν ὥστ' ἀποκτεῖναι αὐτόν. ἤδη δ' ἔγωγε
καὶ πρότερον ἀκοῇ ἐπίσταμαι γεγονὸς, τοῦτο μὲν τοὺς
ἀποθανόντας, τοῦτο δὲ τοὺς ἀποκτείναντας, οὐχ εὑρεθέντας.
οὔκουν ἂν καλῶς ἔχοι εἰ τούτων δέοι τὰς αἰτίας ὑποσχεῖν
τοὺς συγγενομένους. πολλοὶ δέ γ' ἤδη σχόντες ἑτέρων πρα-
γμάτων αἰτίας, πρὶν τὸ σαφὲς αὐτῶν γνωσθῆναι, προαπώ-
λοντο. αὐτίκα Ἐφιάλτην τὸν ὑμέτερον πολίτην οὐδέπω νῦν
εὕρηνται οἱ ἀποκτείναντες· εἰ οὖν τις ἠξίου τοὺς συνόντας
ἐκείνῳ εἰκάζειν οἵτινες ἦσαν οἱ ἀποκτείναντες Ἐφιάλτην, εἰ
δὲ μὴ, ἐνόχους εἶναι τῷ φόνῳ, οὐκ ἂν καλῶς εἶχε τοῖς συν- 738
οῦσιν. ἔπειτα οἵ γε Ἐφιάλτην ἀποκτείναντες οὐκ ἐζήτησαν
τὸν νεκρὸν ἀφανίσαι, οὐδ' ἐν τούτῳ κινδυνεύειν μηνῦσαι τὸ
πρᾶγμα, ὥσπερ οἵδε φασὶν ἐμὲ τῆς μὲν ἐπιβουλῆς οὐδένα
κοινωνὸν ποιήσασθαι τοῦ θανάτου, τῆς δ' ἀναιρέσεως. τοῦτο
δ' ἐντὸς οὐ πολλοῦ χρόνου παῖς ἐζήτησεν οὐδὲ δώδεκα ἔτη
γεγονὼς τὸν δεσπότην ἀποκτεῖναι· καὶ εἰ μὴ φοβηθεὶς, ὡς

[1] δέ * τι καὶ περαιτέρω κελεύοι [2] ἔσεσθαι [3] εὐπορῆτε· μηδὲ, ἂν [4] [μὴ]

si quis vestrum quempiam interroget, de re quam interrogatus ignoret. Idem.

Λέγειν] Subaudi ὑμᾶς. Idem.

Ἐν τούτῳ οὖν] Malim γάρ. τούτῳ redit ad subjecta, οὐκ ἐὰν — et ἀλλ' εἰ μή. Idem.

Ἐὰν μὴ ἐξεύρω] Π. ἐὰν μὲν ἐξεύρω. H. Stephan.

Ἀφανής ἐστιν] Id est, ἠφανίσθη. Possunt utique ista duo ἀφανής ἐστι et ἀπόλωλεν diversa esse. posterius cædem designat, vel modum cædis: prius modum, eum e conspectu hominum subducendi, jam peremtum, ut nusquam reperiri queat. Reisk.

Οἵ γε] Quid si οἱ μὲν, ob insequens δὲ in istis τοῦτο δ' ἐντός. Idem.

Ἐν τούτῳ] Scil. ἐν τῷ ἀφανίζειν τὸν νεκρόν. neque operam dederunt, ut per hoc [studium puta suum, cadaver e conspectu submovendi] in periculum venirent cædem prodendi. ἀφανίζεται νεκρὸς sive humando, sive cremando, sive bestiis objiciendo, sive undis mergendo, quorum pleraque fieri nequeunt sine molestia et alieno adjumento. quo fit ut cædes commissa hoc modo facile palam fiat. Idem.

Τοῦ θανάτου] Cohæret cum τῆς ἐπιβουλῆς. ἡ τοῦ θανάτου ἐπιβουλὴ idem est atque τὸ ἐπιβουλεύειν τινὶ θάνατον. comparatio et machinatio cædis in alicujus caput. nam θάνατος Antiphonti sæpe pro φόνος usurpatur. Possit tamen rursus quoque dictio τοῦ θανάτου pro scholio haberi. id quod alii arbitrantur. Idem.

Τῆς δ' ἀναιρέσεως] Subaudi ποιήσασθαί τινα κοινωνόν. ad tollendum autem corpus, h. e. humandum, adhibitum a me fuisse operæ socium, tametsi cavissem, ne quis mihi interimenti hominem adesset. Idem.

739 ἀνεβόησεν, ἐγκαταλιπὼν τὴν μάχαιραν τῇ σφαγῇ ᾤχετο
φεύγων ἀλλ' ἐτόλμησε μεῖναι, ἀπώλοντ' ἂν οἱ ἔνδον ἅπαν-
τες· οὐδεὶς γὰρ ἂν ᾤετο τὸν παῖδά ποτε τοῦτο τολμῆσαι·
γ΄. Ἦν μὲν γὰρ ἐκκλησία τοῖς στρατηγοῖς τοῖς εἰς Σικελίαν, Νικίᾳ καὶ Λαμάχῳ καὶ Ἀλκιβιάδῃ, καὶ τριήρης ἡ στρατηγὶς ἤδη ἐξώρμει ἡ Λαμάχου· ἀναστὰς δὲ Πυθόνικος ἐν τῷ δήμῳ εἶπεν· Ὦ Ἀθηναῖοι, ὑμεῖς μὲν στρατιὰν ἐκπέμπετε καὶ παρασκευὴν τοσαύτην, καὶ κίνδυνον αἱρεῖσθαι μέλλετε· Ἀλκιβιάδην δὲ τὸν στρατηγὸν ἀποδείξω ὑμῖν τὰ μυστήρια ποιοῦντα ἐν οἰκίᾳ μεθ᾽ ἑτέρων, καὶ ἐὰν ψηφίσησθε ἄδειαν ὡς ἐγὼ κελεύω, θεράπων ὑμῖν ἑνὸς τῶν ἐνθάδε ἀνδρῶν ἀμύητος ὢν ἐρεῖ τὰ μυστήρια. εἰ δὲ μὴ, χρῆσθε ἐμοὶ ὅ τι ἂν ὑμῖν δοκῇ, ἐὰν μὴ τἀληθῆ λέγω. ἀντιλέγοντος δὲ Ἀλκιβιάδου πολλὰ καὶ ἐξάρνου ὄντος, ἔδοξε τοῖς πρυτάνεσι τοὺς μὲν ἀμυήτους μεταστήσασθαι, αὐτοὺς δ᾽ ἰέναι ἐπὶ τὸ μειράκιον ὃ ὁ Πυθόνικος ἐκέλευε. καὶ ᾤχοντο, καὶ ἤγαγον θεράποντα Ἀλκι-

Τοῖς εἰς Σικελίαν] Subaudi ᾑρημένοις. Reisk.

Κίνδυνον] E proximo τοσαύτην etiam ad καὶ κίνδυνον subaudiendum est τοσοῦτον. Idem.

Μεθ᾽ ἑτέρων] F. μεθ᾽ ἑταίρων. Taylor.

Μεθ᾽ ἑτέρων] An hic etiam solito errore librarius pro ἑταίρων scripserit ἑτέρων, quod et p. 6. v. 27. factum suspicatus est Valckenaerius, non statuo. Eundem errorem errarunt, cum alibi tum in Xenoph. Hellen. l. II. c. 3. §. 18. p. 84. edit. Mori: ἐς ὃ ἐβούλοντο τοὺς πολεμίους δεξάμενοι ὑφ᾽ αὑτοῖς καὶ τοῖς ἑτέροις τὴν πόλιν ποιήσασθαι: legendum καὶ τοῖς ἑταίροις. Sluiter.

Ἄδειαν] Scil. τῷ λέξοντι, aut τῷ καταμαρτυρήσοντι, aut τῷ προαχθησομένῳ ὑπ᾽ ἐμοῦ. Reisk.

Ἀμύητος ὢν ἐρεῖ] F. ἀμυήτων ἐρεῖ. Taylor.

Εἰ δὲ μὴ] Scil. ἐρεῖ ὑμῖν ὁ θεράπων τὰ μυστήρια, καὶ οὕτως ἐγὼ φανοῦμαι εἰρηκὼς τὰ ψευδῆ. Reisk.

Ὃ ὁ Πυθόνικος ἐκέλευε] Videtur h. l. ἐξετάζειν aut βασανίζειν deesse, nisi si accipis pro ἐφ᾽ ὃ ἐκέλευεν ἰέναι. Idem.

Ὃ ὁ Πυθόνικος ἐκέλευε] Mihi visum est legi oportere ἐφ᾽ ὃ Π. ἐ. Valckenaerio ὡς ὁ Π. ἐ. Utro modo scribas, non multum interest. In sequentibus certissimæ emendationi Reiskianæ consentit Valckenaerius: "Multa dici possent ad eam confirmandam. Θεράπων Alcibiadis famulus ejus erat aut domus minister. Μέτοικος memoratur Diodoro Sic. t. I. p. 543. et 551. Conf. Thucyd. l. VI. c. 28. Jam autem Polemarchi erat jurisdictio in μετοίκους, qui Athenis habitabant. Conf. Lysiam p. 166. v. 41. ed. Steph. ibique Taylorum, Meursium Ath. Att. p. 12." Sluiter.

Ἀλκιβιάδου Πολέμαρχον] Videtur interponendum esse πρὸς τόν. adducebant Alcibiadis servum, cui nomen erat Andromacho, ad Polemarchum. ad hunc enim magistratum videtur quæsitio servorum per tormenta adversus heros pertinuisse. Aut alias, omisso Ἀλκιβιάδου, leg. erit Πο-

βιάδου Πολέμαρχον. Ἀνδρόμαχος αὐτῷ ὄνομα ἦν. ἐπεὶ δὲ
7 ἐψηφίσαντο αὐτῷ τὴν ἄδειαν, ἔλεγεν ὅτι ἐν τῇ οἰκίᾳ τῇ [1]Πουλυτίωνος γίγνοιτο μυστήρια· Ἀλκιβιάδην μὲν οὖν καὶ Νικιάδην καὶ [2]Μέλητον, τούτους μὲν αὐτοὺς εἶναι τοὺς ποιοῦντας, συμπαρεῖναι δὲ καὶ ὁρᾶν τὰ γιγνόμενα καὶ ἄλλους, παρεῖναι δὲ καὶ δούλους, ἑαυτόν τε καὶ τὸν ἀδελφὸν καὶ Ἱκέσιον τὸν αὐλητὴν καὶ τὸν [2]Μελήτου δοῦλον. πρῶτος μὲν οὗτος ταῦτα ἐμήνυσε, καὶ ἀπέγραψε τούτους· ὧν Πολύστρατος μὲν συνελήφθη καὶ ἀπέθανεν, οἱ δὲ ἄλλοι φεύγον- 3. 1
τες ᾤχοντο, καὶ αὐτῶν ὑμεῖς θάνατον κατέγνωτε. καί μοι λάβε καὶ ἀνάγνωθι αὐτῶν τὰ ὀνόματα.

[3]ΟΝΟΜΑΤΑ.

Τούσδε Ἀνδρόμαχος ἐμήνυσεν, Ἀλκιβιάδην, Νικιάδην, [2]Μέλητον, Ἀρχεβιάδην, Ἄρχιππον, Διογένην, Πολύστρατον, [4]Ἀριστομένη, Ἰωνίαν, Παναίτιον.

Πρώτη μὲν, ὦ ἄνδρες, μήνυσις ἐγένετο αὕτη ὑπὸ Ἀνδρομάχου κατὰ τούτων τῶν ἀνδρῶν. καί μοι κάλει Διόγνητον.

Ἦσθα ζητητὴς, ὦ Διόγνητε, ὅτε Πυθόνικος εἰσήγγειλεν ἐν τῷ δήμῳ περὶ Ἀλκιβιάδου; Ἦν. Οἶσθα οὖν μηνύσαντα Ἀνδρόμαχον τὰ ἐν τῇ οἰκίᾳ [5]τῇ [1]Πουλυτίωνος γινόμενα; Οἶδα. Τὰ ὀνόματα οὖν τῶν ἀνδρῶν ἐστὶ ταῦτα, καθ᾽ ὧν ἐκεῖνος ἐμήνυσεν; Ἔστι ταῦτα.

Δευτέρα τοίνυν μήνυσις ἐγένετο. Τεῦκρος ἦν ἐνθάδε μέτ-
8 οικος, ὃς ᾤχετο Μέγαράδε ὑπεξελθών. ἐκεῖθεν δὲ [6]ἐπαγγέλλεται τῇ βουλῇ, εἴ οἱ ἄδειαν δοῖεν, μηνύσειν περὶ τῶν μυστηρίων, συνεργὸς ὤν, καὶ τοὺς ἄλλους τοὺς ποιοῦντας μεθ᾽ ἑαυτοῦ, καὶ περὶ τῶν Ἑρμῶν τῆς περικοπῆς ἃ ᾔδει. ψηφισαμένης δὲ τῆς βουλῆς—ἦν γὰρ αὐτοκράτωρ—, ᾤχοντο ἐπ᾽ αὐτὸν Μέγαράδε· καὶ κομισθεὶς, ἄδειαν [7]εὑρόμενος, ἀπογράφει τοὺς μεθ᾽ ἑαυτοῦ. καὶ οὗτοι κατὰ τὴν Τεύκρου μήνυσιν ᾤχοντο φεύγοντες. καί μοι λάβε καὶ ἀνάγνωθι τὰ ὀνόματα αὐτῶν.

[1] Πολυτ. [2] Μελιτ. [3] Deest ΟΝΟΜΑΤΑ. [4] Ἀριστομένην [5] τοῦ [6] ἐπηγγέλλετο [7] εὑράμενος

λεμάρχου. IDEM.

Ἱκέσιον] Num Ἱκεσίαν. Nam Hicesius est epithetum Jovis. Hicesias autem nomen proprium hominis. REISK. Καὶ ante Ἱκέσιον delendum suspicatur Valckenaerius, ut Hicesius fuerit Andromachi frater. SLUITER.

Ὀνόματα] Post ὀνόματα deest titulus ΟΝΟΜΑΤΑ. REISK. Titulum jam ante Reiskium restituit Markland ad Lysiam p. 468. SLUITER.

Ἰωνίαν] Non est nomen hominis. Sine dubio vocabulum in vitio cubat. Num Ἱππίαν? an Ἰπνίαν? REISK.

ΟΝΟΜΑΤΑ.

Τεύσδε Τεῦκρος ἐμήνυσε, Φαῖδρον, Γνιφωνίδην, Ἰσόνομον, Ἡφαιστόδωρον, Κηφισόδωρον, ἑαυτὸν, Διόγνητον, Σμινδυρίδην, Φιλοκράτην, Ἀντιφῶντα, Τίσαρχον, Παντακλέα.

μέμνησθε δὲ, ὦ ἄνδρες, ὅτι καὶ ταῦθ᾽ ὑμῖν [1] προσωμολόγηται ἅπαντα. Τρίτη μήνυσις ἐγένετο. ἡ γυνὴ Ἀλκμαιονίδου, γενομένη δὲ καὶ Δάμωνος,— Ἀγαρίστη ὄνομα αὐτῇ—, αὕτη ἐμήνυσεν ἐν τῇ οἰκίᾳ τῇ Χαρμίδου τῇ παρὰ [2] τὸ Ὀλύμπιον μυστήρια ποιεῖν Ἀλκιβιάδην καὶ Ἀξίοχον καὶ Ἀδείμαντον· καὶ ἔφευγον οὗτοι πάντες ἐπὶ ταύτῃ τῇ μηνύσει. Ἔτι μήνυσις ἐγένετο μία. Λυδὸς ὁ Φερεκλέους τοῦ Θημακέως ἐμήνυσε μυστήρια γίνεσθαί ἐν τῇ οἰκίᾳ Φερεκλέους
τοῦ δεσπότου τοῦ ἑαυτοῦ, ἐν Θημακῷ· καὶ ἀπογράφει τούς 9
τε ἄλλους, καὶ τὸν πατέρα ἔφη τὸν ἐμὸν παρεῖναι μὲν, καθεύδειν δὲ ἐγκεκαλυμμένον. Σπεύσιππος δὲ βουλεύων πα-

[1] προσομολογεῖται [2] τὸν

Προσομολογεῖται] Num προσωμολόγηται in perfecto. Idem. Προσωμολόγηται confirmat Marg. Ald. Sluiter.

Ἡ γυνὴ] Post ἡ γυνὴ videtur ἡ νυνὶ deesse, uxor, quæ nunc est Alcmæonidæ. Reisk.

Γενομένη δὲ καὶ] Num γενομένη δὲ ἤδη ποτὲ καὶ Δάμωνος? Idem.

Παρὰ τὸν Ὀλύμπιον] F. παρὰ τὸ Ὀλυμπιεῖον, *apud templum deorum Olympiorum.* Idem. Vid. Meurs. Athen. Att. l. i. c. 10.

Θημακέως] Vir doctus in Margine Aldinæ Editionis notavit: γρ. male μαθήκεως, et citatur h. l. ab Harpocrat. v. Θημακεύς. Sluiter.

Σπεύσιππος δὲ βουλεύων παραδίδωσιν αὐτοὺς τῷ δικαστηρίῳ] Ut de hoc loco, in quo nemo vitium est suspicatus, recte possimus judicare, primum erit videndum, quid sit παραδιδόναι τῷ δικαστηρίῳ: deinde quorum illud fuerit. Est autem hæc locutio aliquanto rarior: frequentior et vulgo usitata: εἰσάγειν εἰς τὸ δικαστήριον, qua sæpissime utuntur Oratores: est tamen et in h. Orat. p. 9. v. 26. ed. Steph. Διοκλείδην τῷ δικαστηρίῳ παραδόντες ἀπεκτείνατε. Pollux l. VIII. s. 48. ὁ δὲ ἄρχων παρεδίδου τὴν κρίσιν δικαστηρίῳ: et quod ibid. s. 51. est παραδιδόναι τῷ δικαστηρίῳ, Suidæ v. Εἰσαγγελία est εἰσάγειν εἰς τὸ δικαστήριον. Conf. I. Luzacii Disquisit. de Epistatis et Proedris Athen. in Annot. ad Or. de Socrate Cive p. 111. Nempe Archontum is, ad quem primum reus in jus vocatus, et a quo instrumenta litis erant examinata, si aut justa aut non absurda petere actorem censeret, adeoque de causa ad tribunal referret, ad quod ea pertineret, traditis simul litis instrumentis, dicebatur vel litem, vel ipsum hominem, in forum inducere: de qua re plura in Lysiacis dicemus. Erat autem hoc officium non omnibus Magistratibus commune, sed erant tantum nonnulli, qui haberent εἰσαγωγὴν de certis causis: ut Archon eponymus de re pupillari et uxoria; Rex sacrorum de cæde et religionibus; Polemarchus de μετοίκοις, peregrinis, et servis: alii Archontes seu Thesmothetæ de aliis et privatis litibus et criminibus. Nusquam vero neque Senatores ex Quingentis, neque Judices ex Heliæa, neque etiam Areopagitæ inter εἰσαγωγεῖς memorantur: quoniam nempe nulla causa erat, quæ non coram uno ex tribus hisce conciliis, seu illius aliqua parte delegata, ageretur. Porro, si spectemus, qua actione in judicium vocatus sit Andocides, et cujus de ejusmodi causis fuerit jurisdictio, apparebit, quid in locum vocabuli βουλεύων sit substituendum. Fuit enim accusatio illa de violatis Mysteriis, accusatio ἀσεβείας: quæ ad tribunal Regis sacrorum pertinebat, cui et cura sacrorum Eleusiniorum erat mandata. Vid. Lysias p. 103. v. 29. seqq. p. 104. v. 13. Demosthenes adv. Lacrit. p. 940. v. 12. ed. R. ἀλλὰ νὴ Δία παρὰ τῷ βασιλεῖ; (eum accusabimus?) ἀλλ᾽ οὐκ ἐσμὲν γυμνασίαρχοι, οὐδὲ ἀσεβείας οὐδένα γραφόμεθα: Pollux l. VIII. s. 90. ὁ δὲ βασιλεὺς μυστηρίων προέστηκε — δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται, ἀσεβείας cæt. Conf. Harpocration et Suidas v. Ἐπιμελητὴς τῶν μυστηρίων, et v.

ῥαδίδωσιν αὐτοὺς τῷ δικαστηρίῳ. κἄπειτα ὁ πατὴρ καταστήσας ἐγγυητὰς ἐγράψατο τὸν Σπεύσιππον παρανόμων [1][γραφὴν], καὶ ἠγωνίσατο ἐν ἑξακισχιλίοις Ἀθηναίων, καὶ μετέλαβε δικαστῶν τοσούτων οὐδὲ διακοσίας ψήφους ὁ Σπεύσιππος. ὁ δὲ πείσας καὶ δεόμενος μεῖναι τὸν πατέρα ἐγὼ ἦν μάλιστα, εἶτα δὲ καὶ οἱ ἄλλοι συγγενεῖς. καί μοι κάλει Καλλίαν καὶ Στέφανον, κάλει δὲ καὶ Φίλιππον καὶ Ἀλέξιππον· οὗτοι γάρ εἰσιν Ἀκουμενοῦ καὶ Αὐτοκράτορος συγγενεῖς, οἳ ἔφευγον ἐπὶ τῇ Λυδοῦ μηνύσει· τοῦ μὲν ἀδελφιδοῦς ἐστὶν Αὐτοκράτωρ, τοῦ δὲ θεῖος Ἀκουμενός· οἷς προσήκει μισεῖν μὲν τὸν ἐξελάσαντα ἐκείνους, εἰδέναι δὲ μάλιστα δι' ὅντινα ἔφευγον. βλέπετε εἰς τούτους, καὶ μαρτυρεῖτε εἰ ἀληθῆ λέγω.

10 ## ΜΑΡΤΥΡΕΣ.

δ'. Τὰ μὲν [2]γενόμενα ἠκούσατε, ὦ ἄνδρες, καὶ ὑμῖν οἱ μάρτυρες μεμαρτυρήκασιν· ἃ δὲ οἱ κατήγοροι ἐτόλμησαν εἰπεῖν, ἀναμνήσθητε. οὐ γὰρ καὶ δίκαιον ἀπολογεῖσθαι, ἀναμιμνήσκοντας τοὺς τῶν κατηγόρων λόγους [3]ἐξελέγχειν; ἔλεξαν γάρ, ὡς ἐγὼ μηνύσαιμι περὶ τῶν μυστηρίων, ἀπογρά-

[1] Absunt unci. [2] γινόμενα [3] ἐξελέγχειν.

Ἡγεμονία δικαστηρίου: Sigonius de Rep. Athen. l. IV. c. 1. His igitur rationibus ductus sum ad suspicandum pro βουλεύων restituendum esse βασιλεύων. Regem sacrorum dici βασιλεύειν, manifestum est ex Demosthene in Macart. p. 1063. v. 17. 27. p. 1065. v. 9. ubi Εὐκτήμονα τὸν βασιλεύσαντα memorat: et sic ἄρχειν sæpissime dicitur, nec non πολεμαρχεῖν: e. gr. apud Demosth. in Neær. p. 1358. v. 23. IDEM.

Κάλει] Quod Aldinæ deest, præter Stephanum Scaliger quoque addidit. Poterat quoque sic constitui: καί μοι Καλλίαν καὶ Στέφανον κάλει, καὶ Φίλιππον (sine δὲ). aut, si δὲ servandum censeas: καί μοι Καλλίαν καὶ Στ. κάλει. κάλει δὲ καὶ Φίλιππον. REISK.

Τοῦ μὲν] Calliæ. IDEM.

Τοῦ δὲ] Stephani. IDEM.

Βλέπετε] Alloquitur Calliam et Stephanum, hortaturque oculis rectis et fiduciæ plenis in hos, judices puta, intueri. IDEM.

Γινόμενα] Legendum γενόμενα: quod vitium ex compluribus aliis locis hujus Orationis a Reiskio est sublatum. SLUITER.

Οὐ γὰρ —] Fort. οὐ γὰρ δίκαιον ἀπολογεῖσθαι, ἀλλ' ἀναμιμν. TAYLOR. Varia hic in mentem venerunt, ut in loco desperato. e. c. οὐ γὰρ καὶ δίκαιον, τὸν βουλόμενον ἀπολογεῖσθαι κωλύειν, ἀναμιμνήσκοντα (in singulari) τοὺς τ. κ. λ. ἐ. Neque enim æquum est, qui se defensum eat, eum impedire, quo minus recitando accusatorum criminationes, una eas refutet. Vel: οὐ γὰρ καὶ δυνατὸν ἀπολογεῖσθαι, εἴ τις μὴ ἐπιτρέπῃ ἀναμιμνήσκοντα. Prorsus se defendere nemo potest, nisi si quis ei veniam det criminationes accusatorum diluendi. Sed has qui diluere vult, necesse quoque habet eas commemorare. Aut: εὐσεβὲς γὰρ καὶ δίκαιον. [Fort. lenissima h. l. emendandi ratio erit hæc, ut legatur οὕτω γὰρ &c. *In Cur. poster. in Andoc.*] REISK.

Οὐ γὰρ καὶ δίκαιον —] Luzacius suam conjecturam mecum communicavit: οὐ γὰρ ἐστὶ δίκαιον ἀπολογεῖσθαι, ἀναμιμνήσκοντα τοὺς τῶν κατηγόρων λόγους ἐξελέγχειν; *nonne justum est et æquum, me in memoriam revocantem accusatorum sermones, ita iis respondere, ut me ipse defendam?* SLUITER.

ψαιμί τε τὸν πατέρα τὸν ἐμαυτοῦ παρόντα, καὶ γενοίμην μηνυτὴς κατὰ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ, λόγον (οἶμαι) πάντων δεινότατόν τε καὶ ἀνοσιώτατον λέγοντες. ὁ μὲν γὰρ ἀπογράψας αὐτὸν Λυδὸς ἦν ὁ Φερεκλέους· ὁ δὲ πείσας ὑπομεῖναι καὶ μὴ οἴχεσθαι φεύγοντα ἐγὼ, πολλὰ ἱκετεύσας καὶ [1] λαμβανόμενος τῶν γονάτων. καίτοι τί ἐβουλόμην, εἰ 11
ἐμήνυσα μὲν κατὰ τοῦ πατρὸς, ὡς οὗτοί φασιν, ἱκέτευον δὲ τὸν πατέρα [2] μείναντά τι παθεῖν ὑπ' ἐμοῦ; καὶ ὁ πατὴρ ἐπείσθη ἀγῶνα τοιοῦτον ἀγωνίσασθαι, ἐν ᾧ δυοῖν τοῖν μεγίστοιν κακοῖν οὐκ ἦν αὐτῷ ἁμαρτεῖν· ἢ γὰρ ἐμοῦ δόξαντος τὰ ὄντα μηνῦσαι κατ' ἐκείνου ὑπ' ἐμοῦ ἀποθανεῖν, ἢ αὐτῷ σωθέντι ἐμὲ ἀποκτεῖναι. ὁ γὰρ νόμος οὕτως εἶχεν· εἰ μὲν τἀληθῆ μηνύσειέ τις, εἶναι τὴν ἄδειαν, εἰ δὲ τὰ ψευδῆ, τεθνάναι. καὶ μὲν δὴ τοῦτό γε ἐπίστασθε πάντες, ὅτι ἐσώθην καὶ ἐγὼ καὶ ὁ ἐμὸς πατήρ· οἷόν τε δ' οὐκ ἦν, εἴπερ ἐγὼ μηνυτὴς ἐγενόμην περὶ τοῦ πατρὸς, ἀλλ' ἢ ἐμὲ ἢ ἐκεῖνον ἔδει ἀποθανεῖν. φέρε δὴ τοίνυν, εἰ καὶ ὁ πατὴρ ἐβούλετο ὑπομένειν, τοὺς φίλους ἂν οἴεσθε ἢ ἐπιτρέπειν αὐτῷ μένειν ἢ ἐγγυήσασθαι, ἀλλ' οὐκ ἂν παραιτεῖσθαι καὶ δεῖσθαι ἀπιέναι ὅπου ἂν ἔμελλεν αὐτὸς σωθήσεσθαι, ἐμέ τε οὐκ ἀπολεῖν; ἀλλὰ γὰρ καὶ ὅτε Σπεύσιππον ἐδίωκεν ὁ πατὴρ τῶν παρανόμων, αὐτὰ ταῦτα ἔλεγεν, ὡς οὐδεπώποτε ἔλθοι εἰς Θημακὸν ὡς Φερεκλέα· ἐκέλευε δὲ βασανίσαι τὰ ἀνδράποδα, καὶ μὴ τοὺς μὲν παραδιδόντας μὴ ἐθέλειν ἐλέγχειν, 12
τοὺς δὲ μὴ θέλοντας ἀναγκάζειν. ταῦτα δὲ λέγοντος τοῦ

[1] καταλαμβανόμενος [2] μείναντα τὶ

Αὐτῶν Λυδ.] Αὐτὸν Λυδ. Taylor. Scaliger. Sluiter.

Φεύγοντας] Leg. φεύγοντα. Taylor.

Καταλαμβανόμενος] Malim simplex. Dicitur enim λαμβάνεσθαι τῶν γονάτων τινὸς, non καταλαμβάνεσθαι. Reisk.

Μείναντα τὶ] Hoc τὶ est iteratio redundans præmissi τὶ versu 6. quod solum poterat sufficere. Sed post καὶ ὁ πατὴρ hoc ipso versu 8. malim τὶ iterari, et post ἐπείσθη signum interrogationis poni, ut ἀγῶνα — sint responsio illius interrogationis. Idem.

Μείναντα τὶ] Demiror Reiskium, qui pronomen τὶ deleri velit: non est delendum, sed scribendum sine accentu τι, *aliquid: mori* per Euphemismum Attici dixerunt τι παθεῖν. Sluiter.

Αὐτῷ ἁμαρτεῖν] Interpono ἑνὸς aut θατέρου. Reisk.

Ἢ γὰρ] F. ἤγουν. Taylor.

Περὶ τοῦ πατρὸς] Alibi semper κατὰ I. N. [interpretor, Inquit Noster. *Reisk.*] Idem.

Τῶν παρανόμων, αὐτὰ ταῦτα] Num τῶν παρανόμων αὐτὸς, ταῦτα. Reisk. Articulum τῶν, ut et alias in eadem phrasi abest, sic et h. l. delendum censet Valckenaerius. Sluiter.

Ἀναγκάζειν] Auctor erat judicibus, ut desisterent ab illa inconstantia et iniquitate sua, qua solerent servos a dominis ad tormenta oblatos, οὐκ ἐθέλειν ἐλέγχειν, nolle coarguere, dominos autem, qui servos ad tormenta exhibere recusarent, ἀναγκάζειν παραδιδόναι, cogere ad tradendum.

πατρὸς τοῦ ἐμοῦ, ὡς ἅπαντες ἴστε, τί ὑπελείπετο τῷ Σπευσίππῳ λέγειν, εἰ ἀληθῆ οἵδε λέγουσιν, ἀλλ' ἤ, Ὦ [1] Λεωγόρα, τί βούλει περὶ θεραπόντων λέγειν; οὐχ [2] ὁ υἱὸς οὑτοσὶ μεμήνυκε κατὰ σοῦ, καὶ φησί σε παρεῖναι ἐν Θημακῷ; ἔλεγχε σὺ τὸν πατέρα, ἢ οὐκ ἔστι σοι ἄδεια. ταυτὶ ἔλεγεν ἂν ὁ Σπεύσιππος, ὦ ἄνδρες· ἢ οὔ; ἐγὼ μὲν οἶμαι. εἰ τοίνυν ἀνέβην ἐπὶ δικαστήριον, ἢ λόγος τις περὶ ἐμοῦ ἐγένετο, ἢ μήνυσίς [3] τις ἐμή ἐστιν ἢ ἀπογραφὴ, μὴ ὅτι ἐμὴ καθ' ἑτέ-
13 ρου, ἀλλ' εἰ καὶ ἄλλου τινὸς κατ' ἐμοῦ, ἐλεγχέτω με ὁ βουλόμενος ἐνταῦθα ἀναβάς. ἀλλὰ γὰρ λόγον ἀνοσιώτατον καὶ ἀπιστότατον [4] οὐδένας πώποτ' ἐγὼ εἰπόντας οἶδα, οἳ τοῦτο μόνον ἡγήσαντο δεῖν, τολμῆσαι κατηγορῆσαι· εἰ δ' ἐλεγχθήσονται ψευδόμενοι, οὐδὲν αὐτοῖς ἐμέλησεν. ὥσπερ οὖν, εἰ ἀληθῆ ἦν ταῦτα ἅ με κατηγόρησαν, ἐμοὶ ἂν ὠργίζεσθε καὶ ἠξιοῦτε δίκην τὴν μεγίστην ἐπιτιθέναι· οὕτως ἀξιῶ ὑμᾶς, γινώσκοντας ὅτι ψεύδονται, πονηρούς τε αὐτοὺς νομίζειν, χρῆσθαί τε τεκμηρίῳ ὅτι, εἰ τὰ δεινότατα τῶν κατηγορηθέντων περιφανῶς ἐλέγχονται ψευδόμενοι, ἧπου [5] τά γε πολλῷ φαυλότερα ῥαδίως ὑμῖν ἀποδείξω ψευδομένους αὐτούς.

έ. Αἱ μὲν μηνύσεις ὧδε περὶ τῶν μυστηρίων αὗται ἐγέ-

[1] ἄνθρωπε [2] Deest articulus. [3] τις ὡς ἐμὴ [4] οὐδένα [5] τἄλλα πολλῷ

Exprobrat judicibus iniquitatem et inconstantiam. Si ego servos exhibere recusarem, cogeretis me. Jam cum eos exhibeam, non vultis in rem inquirere, recusatis ex iis confessionem veri exprimere. Reisk.

Εἰ ἀληθῆ οἵδε λέγουσιν] Suspicabar aliquando leg. esse: εἰ ἀληθῆ σύνοιδε λέγουσιν. *si conscius his erat vera dicentibus.* Idem.

Ἔστιν ἡ ἀπογραφὴ] Videtur sic leg. et distinguendum esse: ἔστιν, ἢ ἀπογραφή. *aut descriptio.* distinguit τὴν ἀπογραφὴν, ut rem diversam, a τῇ μηνύσει. et erant quoque diversæ res. indicium præcedebat, sequebatur exhibitio nominum indicatorum in tabula præscriptorum. Idem.

Ἀλλὰ γὰρ λόγον —] Locum hunc sic lego: ἀλλὰ γὰρ λόγον ἀνοσιώτερον καὶ ἀπιστότερον οὐδένας (in plurali) πώποτ' ἐγὼ εἰπόντας οἶδα τούτων, οἳ τοῦτο μόνον. Idem.

Ἀλλὰ γὰρ λόγον κ. τ. λ.] Non satis probabilis videtur Reiskii conjectura: ἀλλὰ γὰρ λόγον ἀνοσιώτερον καὶ ἀπιστότερον οὐδένας πώποτ' ἐγὼ εἰπόντας οἶδα τούτων, οἳ cæt. Equidem suspicatus sum duo verba excidisse, quæ oculorum ingeniique aciem descriptoris propter similitudinem literarum fefellerint; atque ita fere scripsisse Andocidem: ἀλλὰ γὰρ λόγον ἔλεγον ἀνοσιώτατον καὶ ἀπιστότατον, οἷον οὐδένα πώποτ' ἐγὼ εἰπόντα οἶδα, οἳ τοῦτο μόνον. — Verum acute animadvertit Io. Luzacius, quocum conjecturam communicavi, duriorem esse Atticis auribus hiatum εἰπόντα οἶδα: itaque rectius scribi: οἷον οὐδ' ἂν πώποτ' ἐγὼ εἰπόντας οἶδα. — Mox in sequentibus emendationem Reiskianam οὐδὲν αὐτοῖς ἐμέλησεν et M. Ald. confirmat, et ita legendum esse viderat quoque Valckenaerius. Sluiter.

Οὐδὲ νῦν τοῖς ἐμέλησεν] Pro τοῖς dant schedæ Scaligeri τούτοις. Ego de meo dedi οὐδὲν αὐτοῖς ἐμ. Reisk.

Φαυλότερα] Subaudi ὄντα. breviloquentes illi vetustiores Attici, ut Noster Andocides, Lysias, et Thucydides, talia omittunt, quæ recentiores sedulo cavent ne usquam omittant. Idem.

Αἱ μὲν μηνύσεις] Post μὲν aut οὖν aut

νοντο τέτταρες· οἱ δὲ ἔφευγον καθ' ἑκάστην μήνυσιν, ἀνέγνων ὑμῖν τὰ ὀνόματα αὐτῶν, καὶ οἱ μάρτυρες μεμαρτυρήκασιν. ἔτι δὲ πρὸς τούτοις ἐγὼ πιστότητος ὑμῶν ἕνεκα, ὦ ἄνδρες, 14
τάδε ποιήσω. τῶν γὰρ φευγόντων ἐν τοῖς μυστηρίοις οἱ μέν τινες ἀπέθανον φεύγοντες, οἱ δ' ἥκουσι καί εἰσιν ἐνθάδε καὶ πάρεισιν ὑπ' ἐμοῦ κεκλημένοι. ἐγὼ οὖν ἐν τῷ ἐμῷ λόγῳ δίδωμι τῷ βουλομένῳ ἐμὲ [1] ἐλέγξαι, ὅτι ἔφυγέ τις αὐτῶν δι' ἐμὲ, ἢ ἐμήνυσα κατ' αὐτοῦ, ἢ οὐχ ἕκαστοι ἔφυγον κατὰ τὰς μηνύσεις ταύτας ἃς ἐγὼ ὑμῖν ἀπέδειξα. καὶ ἐάν τις ἐλέγξῃ με ὅτι ψεύδομαι, χρήσασθέ μοι ὅ τι βούλεσθε. καὶ σιωπῶ καὶ παραχωρῶ, εἴ τις ἀναβαίνειν βούληται.

ς'. Φέρε [2] δὴ, ὦ ἄνδρες, μετὰ ταῦτα τί ἐγένετο; ἐπειδὴ αἱ μηνύσεις ἐγένοντο, περὶ τῶν μηνύτρων — ἦσαν γὰρ κατὰ τὸ Κλεωνύμου ψήφισμα χίλιαι δραχμαὶ, κατὰ δὲ τὸ Πεισάνδρου μύριαι — περὶ δὲ τούτων ἠμφισβήτουν οὗτοί τε οἱ μηνύσαντες, καὶ Πυθόνικος, φάσκων πρῶτος εἰσαγγεῖλαι, καὶ Ἀνδροκλῆς ὑπὲρ τῆς βουλῆς. ἔδοξεν οὖν τῷ δήμῳ ἐν τῷ τῶν θεσμοθετῶν δικαστηρίῳ τοὺς μεμυημένους, ἀκούσαντας τὰς μηνύσεις ἃς ἕκαστος ἐμήνυσε, διαδικάσαι· καὶ ἐψηφίσαντο πρώτῳ μὲν Ἀνδρομάχῳ, δευτέρῳ δὲ Τεύκρῳ, καὶ ἔλαβον Παναθηναίων τῷ ἀγῶνι, Ἀνδρόμαχος μὲν μυρίας δραχμὰς, Τεῦκρος δὲ χιλίας. καί μοι κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

5. 1 ζ'. Περὶ μὲν τῶν μυστηρίων, ὦ ἄνδρες, ὧν εἵνεκα ἡ ἔνδειξις ἐγένετο καὶ περὶ ὧν ὑμεῖς οἱ μεμυημένοι εἰσεληλύθατε, 15

[1] ἐξελέγξαι [2] δὲ

τοίνυν deesse aliquando suspicabar. Sed Lysias et similes antiqui has copulas amant omittere. v. p. 237. pen. IDEM.

Ὧδε περὶ] Malim αἱ interponi. IDEM.

Ἐν τοῖς μυστηρίοις] Leg. ἐπὶ τοῖς μυστ. Conf. p. 240. 7. IDEM.

Ἢ ἐμήνυσα] Legi malim ὅτι ἐμην. IDEM. Sententia videtur requirere: ἢ ἐμήνυσα κατά του. SLUITER.

ς'. Περὶ δὲ τούτων] Facile δὴ substituatur in locum δέ. videtur tamen et hoc quoque posse defendi, ex more Latinorum, *sed* in similibus locis pro *igitur* usurpandi. *Sed de his* — de quibus nempe disputare cœperam. REISK.

Ἀνδροκλῆς] Ὁ δημαγωγός. Plut. in Alcib. TAYLOR. Videtur ergo Androcles syndicus senatus fuisse, et ex h. l. posse colligi, ut fisco sui syndici seu fiscales fuerunt, ita senatui quoque suos fuisse, qui rem, h. e. ut vulgo usurpamus, inteesse ejus curarent, eique consulerent. REISK.

Μεμυημένους] Rectius μηνύσαντας. v. 5, 2. 9. ed. Steph. TAYLOR.

ζ'. Περὶ μὲν τῶν μυστηρίων] Omissio copulæ οὖν decet illum πῖνον vetustissimi Atticismi. REISK.

ἀποδέδεικταί μοι, ὡς οὔτε ἠσέβηκα οὔτε μεμήνυκα περὶ οὐδενὸς οὔτε ὡμολόγηκα περὶ αὐτῶν, οὐδὲ ἔστι μοι ἁμάρτημα περὶ τὼ θεὼ οὔτε μεῖζον οὔτ᾽ ἔλαττον οὐδὲ ἕν. ὅπερ ἐμοὶ περὶ πλείστου ἐστὶν ὑμᾶς πεῖσαι· καὶ γὰρ οἱ λόγοι τῶν κατηγόρων ταῦτα τὰ δεινὰ καὶ φρικώδη ἀνωρθίαζον, καὶ λόγους εἶπον, ὡς πρότερον ἑτέρων ἁμαρτόντων καὶ ἀσεβησάντων περὶ τὼ θεὼ, οἷα ἕκαστος αὐτῶν ἔπαθε καὶ ἐτιμωρήθη. τούτων οὖν ἐμοὶ τῶν λόγων ἢ τῶν ἔργων τί προσήκει; ἐγὼ γὰρ πολὺ μᾶλλον ἐκείνων κατηγορῶ, καὶ δι᾽ αὐτὸ τοῦτο φημὶ δεῖν ἐκείνους μὲν ἀπολέσθαι, ὅτι ἠσέβησαν, ἐμὲ δὲ σώζεσθαι, ὅτι οὐδὲν ἡμάρτηκα. ἢ [1] δεινόν γ᾽ ἂν εἴη, εἰ ἐμοὶ
16 ὀργίζοισθε ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασι, καὶ τὴν εἰς ἐμὲ διαβολὴν εἰδότες ὅτι ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν λέγεται, κρείττω τῆς ἀληθείας [2] ἡγήσαισθε. δῆλον ὅτι γὰρ τοῖς μὲν ἡμαρτηκόσι τὰ τοιαῦτα ἁμαρτήματα οὐκ ἔστιν ἀπολογία ὡς οὐκ ἐποίησαν. ἡ γὰρ βάσανος δεινὴ παρὰ τοῖς εἰδόσιν· ἐμοὶ δὲ ὁ ἔλεγχος ἥδιστος, ἐν οἷς ὑμῶν οὐδέν με δεῖ δεόμενον οὐδὲ

[1] δεινὸν γὰρ εἴη   [2] ἡγήσεσθε

Οἱ λόγοι] Pinge οἳ λόγοι. Est enim οἱ hic loci non præpositivus articulus, sed postpositivus. Cohæret cum τούτων οὖν τῶν λόγων — v. 8. Fuisset utique concinnius: καὶ γὰρ ἐν οἷς λόγοις οἱ κατήγοροι, ταῦτα τὰ δεινὰ ἀνορθιάζοντες, εἶπον, οἷα ἔπαθεν ἕκαστος τῶν πρότερον τὰ αὐτὰ ἁμαρτόντων — verum in his vetustis scriptoribus limata et tersa oratio frustra requiratur. Durum utique οἱ λόγοι — εἶπον λόγους — sed ferenda sunt hæc in hujusmodi scriptoribus ἀκόμψοις. Loci hujus intelligentia e Lysiæ oratione in Andocidem est petenda. Reisk.

Οἱ λόγοι τῶν κατηγόρων κ. τ. λ.] Locus procul dubio videtur corruptus; nec certa apparet emendandi via. Absurdum est· οἱ λόγοι — ἀνωρθίαζον, καὶ λόγους εἶπον: *ipsa verba declamarunt, et sermones dixerunt*: forte, si quid periclitari liceat, pro οἱ λόγοι scribendum οἱ λόγιοι, et ἀλόγως pro λόγους, quoniam subjicit: τούτων οὖν ἐμοὶ τῶν λόγων ἢ τῶν ἔργων τί προσήκει; pulcra est hæc oppositio: οἱ λόγιοι — ἀλόγως εἶπον, ὅπως (ita enim legendum videtur pro ὡς). Λόγιοι autem secundum Mœridem et Thomam Magistrum sunt οἱ πολυΐστορες, vel, ut ait Phrynichus p. 84. οἱ τὰ ἑκάστῳ ἔθνει ἐπιχώρια ἐξηγούμενοι ἐμπείρως, ubi vid. Nunnesius. Plutarchus in Solon. p. 92. E. Χρόνον δέ τινα καὶ τοῖς περὶ Ψένωφιν τὸν Ἡλιουπολίτην καὶ Σώγχιν τὸν Σαΐτην, λογιωτάτοις οὖσι τῶν ἱερέων, συνεφιλοσόφησε: p. 96. D. μῦθον — ὃν διήκουσε τῶν περὶ Σάϊν λογίων. Λόγιον Hesychius interpretatur τὸν τῆς ἱστορίας ἔμπειρον, πεπαιδευμένον. Conf. Interpretes Thomæ Magistri l. c. p. 579. et Pierson. ad d. l. Mœridis p. 249. Elsnerus et Wetstenius ad Acta Apost. xviii. ver. 24. Sensus hujus loci est: *Caput causæ in eo pono, ut persuadeam vobis, me non peccasse: nam isti rerum ante gestarum et antiquæ historiæ periti accusatores mei horrenda ista et terroris plena magna voce declamarunt, et absurda ratione dixerunt, quo antea modo cum alii peccassent in Cererem et Proserpinam, qualia quisque eorum passus, qua pœna affectus esset.* Cæterum verbum ἀνωρθίαζον ex h. l. citantes Harpocration et Suidas exponunt ὄρθιον βοῶντες ἔλεγον. Sluiter.

Λόγους εἶπον] Hæc videntur spectare orationem Lysiacam in initio fragmenti. quæratur. Taylor.

Δεινὸν γὰρ] Malim δεινόν γ᾽ ἄν. Reisk. Valckenaerius legit: δεινὸν γὰρ ἂν εἴη. Sluiter.

Ἡγήσεσθε] Malim ἡγήσαισθε, ob præcedens ὀργίζοισθε. Reisk.

Εἰδόσιν] Scil. τὰ μυστήρια. Idem.

Οὐδέν με δεῖ] Leg. οὐδένα με δεῖ. Taylor. Saltim οὐδενὸς dedisset. Reisk.

παραιτούμενον σωθῆναι ἐπὶ τοιαύτῃ αἰτίᾳ, ἀλλ' ἐλέγχοντα
τοὺς τῶν κατηγόρων λόγους. καὶ ὑμᾶς ἀναμιμνήσκω τὰ
γεγενημένα, οἵτινες ὅρκους μεγάλους ὀμόσαντες οἴσετε τὴν
ψῆφον περὶ ἐμοῦ, καὶ ἀρασάμενοι τὰς μεγίστας ἀρὰς ὑμῖν
τε αὐτοῖς καὶ [1] παισὶ τοῖς ὑμετέροις αὐτῶν, εἰ μὴ ψηφιεῖ-
σθε περὶ ἐμοῦ τὰ δίκαια· πρὸς δὲ τούτοις μεμύησθε καὶ
ἑωράκατε τοῖν θεοῖν τὰ ἱερὰ, ἵνα τιμωρήσητε μὲν τοὺς ἀσε-
βοῦντας, σώζητε δὲ τοὺς μηδὲν ἀδικοῦντας. νομίσατε τοίνυν
ἀσέβημα οὐδὲν ἔλαττον εἶναι τοὺς μηδὲν ἠδικηκότας ἀσεβεῖν
καταγνῶναι ἢ τοὺς ἠσεβηκότας μὴ τιμωρεῖσθαι. ὥστ' ἐγὼ
ὑμῖν πολὺ μᾶλλον τῶν κατηγόρων πρὸς τοῖν θεοῖν ἐπισκή-
πτω, ὑπέρ τε τῶν ἱερῶν ἃ [2] εἴδετε, καὶ ὑπὲρ τῶν Ἑλλήνων οἳ 17
τῆς ἑορτῆς ἕνεκεν ἔρχονται δεῦρο· εἰ μέν τι ἠσέβηκα ἢ ὡμολό-
γηκα ἢ ἐμήνυσα κατά τινος ἀνθρώπων, ἢ ἄλλος τις περὶ
ἐμοῦ, ἀποκτείνατέ με· οὐ παραιτοῦμαι· εἰ δὲ οὐδὲν ἡμάρτη-
ταί μοι, καὶ τοῦτο ὑμῖν ἀποδείκνυμι σαφῶς, δέομαι ὑμῶν
αὐτὸ φανερὸν τοῖς Ἕλλησι πᾶσι ποιῆσαι, ὡς ἀδίκως εἰς
τόνδε τὸν ἀγῶνα κατέστην. ἐὰν γὰρ μὴ μεταλάβῃ τὸ πέμ-
πτον μέρος τῶν ψήφων καὶ ἀτιμωθῇ ὁ ἐνδείξας ἐμὲ [3] Κη-
φίσιος οὑτοσὶ, οὐκ ἔξεστιν αὐτῷ εἰς τὸ ἱερὸν τοῖν θεοῖν
εἰσιέναι, ἢ ἀποθανεῖται. εἰ οὖν ὑμῖν [4] δοκῶ ἱκανῶς περὶ
τούτων [5] ἀπολελογῆσθαι, δηλώσατέ μοι, ἵνα προθυμότερον
περὶ τῶν ἄλλων ἀπολογῶμαι.

η'. Περὶ δὲ τῶν ἀναθημάτων τῆς περικοπῆς καὶ τῆς μηνύσεως, ὥσπερ καὶ ὑπεσχόμην ὑμῖν, οὕτω καὶ ποιήσω· ἐξ ἀρχῆς γὰρ ὑμᾶς διδάξω ἅπαντα τὰ γεγενημένα. ἐπειδὴ Τεῦκρος ἦλθε Μεγαρόθεν ἄδειαν εὑρόμενος, μηνύει περί τε

[1] πᾶσι [2] ἴδετε [3] Κηφήσιος [4] δοκῶ ὑμῖν [5] ἀπολογεῖσθαι

Ἀλλ'] Subaudi a communi δεῖ σωθῆναι. Idem.

Ἀναμιμνήσκω] Malim ἀναμιμνήσκοντα, in participio, ut ἐλέγχοντα. Idem.

Οἵτινες ὅρκους —] Verba οἵτινες ὅρκους ad τὰ ἱερὰ versu 7. pro parentheticis accipienda sunt. Nam ἵνα τιμωρήσητε cohæret cum ἀναμιμνήσκω ὑμᾶς. Idem.

Πρὸς τοῖν θεοῖν] Aut πρὸς ταῖν θεαῖν leg. est, aut saltim πρὸς ταῖν θεοῖν, si non a θεὰ, sed a θεὸς communis generis repetere velis. Saltim articulus debebit genus fœmininum indicare. Ceres enim et Proserpina hic significantur. Et sic quoque versu 20. Reisk. Legendum esse ταῖν θεοῖν cum Reiskio consentit Valckenaerius. vid. Markland. et Taylor. ad Lys. p. 103. 27. ed. Steph. Respexit hunc locum Harpocration v. ἐπεσκήψατο, explicans: μετὰ τινὸς ἐπιθειασμοῦ λέγω, οἷον ἐξορκίζω. ex quo sua hausit Suidas. Sluiter.

Τῆς ἑορτῆς] Sacrorum Eleusiniorum puta. Reisk.

Κηφήσιος] Π. Κηφίσιος, ὡς γράφεται ἀλλαχοῦ. H. Stephan.

Ἀπολογεῖσθαι] Malim ἀπολελογῆσθαι. Sluiter.

Εὑρόμενος] p. 3. 14. ed. Steph. usurpavit

τῶν μυστηρίων ἃ ᾔδει καὶ τῶν περικοψάντων τὰ ἀναθή-
18 ματα, καὶ ἀπογράφει δυοῖν δέοντας εἴκοσιν ἄνδρας. ἐπειδὴ [1] δὲ οὗτοι ἀπεγράφησαν, οἱ μὲν αὐτῶν φεύγοντες ᾤχοντο, οἱ δὲ συλληφθέντες ἀπέθανον κατὰ τὴν Τεύκρου μήνυσιν. καί μοι ἀνάγνωθι αὐτῶν τὰ ὀνόματα.

ΟΝΟΜΑΤΑ.

Τεῦκρος ἐπὶ τοῖς Ἑρμαῖς ἐμήνυσεν Εὐκτήμονα, Γλαύκιππον, Εὐρύμαχον, Πολύευκτον, Πλάτωνα, Ἀντίδωρον, Χάριππον, Θεόδωρον, Ἀλκισθένην, Μενέστρατον, [2] Ἐρυξίμαχον, Εὐφίλητον, Εὐρυδάμαντα, Φερεκλέα, [3] Μέλητον, Τιμάνθην, Ἀρχίδαμον, Τελένικον.

τούτων τοίνυν τῶν ἀνδρῶν οἱ μὲν ἥκουσι καί εἰσιν ἐνθάδε, τῶν δὲ ἀποθανόντων εἰσὶ πολλοὶ προσήκοντες· ὧν ὅστις βούλεται, ἐν τῷ ἐμῷ λόγῳ ἀναβάς με ἐλεγξάτω, ἢ ὡς ἔφυγέ τις δι' ἐμὲ τούτων τῶν ἀνδρῶν, ἢ ὡς ἀπέθανεν.

θʹ. Ἐπειδὴ δὲ ταῦτα ἐγένετο, Πείσανδρος καὶ Χαρικλῆς, ὄντες μὲν τῶν ζητητῶν, δοκοῦντες δ' ἐν ἐκείνῳ τῷ χρόνῳ 6. 1
εὐνούστατοι εἶναι τῷ δήμῳ, [4] ἔλεγον ὡς εἴη τὰ ἔργα τὰ γεγενημένα οὐκ ὀλίγων ἀνδρῶν ἀλλ' ἐπὶ τῇ τοῦ δήμου καταλύσει, καὶ χρῆναι ἔτι ζητεῖν καὶ μὴ παύσασθαι. καὶ ἡ πόλις οὕτω διέκειτο, ὥστ', ἐπειδὴ τὴν βουλὴν εἰς τὸ βουλευ-
19 τήριον ὁ κῆρυξ [5] ἀνείποι ἰέναι καὶ τὸ σημεῖον [6] καθέλοι, τῷ αὐτῷ σημείῳ ἡ μὲν βουλὴ εἰς τὸ βουλευτήριον ᾔει, οἱ δ' ἐκ τῆς ἀγορᾶς ἔφυγον, δεδιότες εἷς ἕκαστος μὴ συλληφθείη. ἐπαρθεὶς οὖν τοῖς τῆς πόλεως κακοῖς εἰσαγγέλλει Διοκλείδης εἰς τὴν βουλήν, φάσκων εἰδέναι τοὺς περικόψαντας τοὺς Ἑρμᾶς, καὶ εἶναι αὐτοὺς εἰς τριακοσίους· ὡς δ' ἴδοι καὶ

[1] Deest δέ. [2] Εὐριξίμαχον [3] Μέλιτον [4] ἔλεγεν οὖν ὡς [5] ἀνείπῃ [6] καθέλῃ

εὑράμενος. Taylor.

Ἐπειδὴ οὗτοι] Malim aut ἐπεὶ δὲ οὗτοι, aut ἐπειδὴ δὲ οὗτοι. Reisk.

Ἐπὶ τοῖς Ἑρμαῖς] Vid. Meurs. Athen. Att. l. i. c. 3.

Εὐριξίμαχον] Πότερον, Ἐρυξίμαχον. H. Stephan.

Ἀνείπῃ] Aut cum simplici εἴπῃ est mutandum, aut ἂν εἴπῃ leg. duobus vocabulis. tum pro ἰέναι simplici malim ἀνιέναι. Reisk. Dedi ex correctione Bekkeri ἀνείποι.

Ἀνείπῃ ἰέναι] Reiske mavult εἴπῃ, aut ἂν εἴπῃ ἀνιέναι: verum tamen sic etiam infra est p. 7. v. 6. seq. ed. Steph. ἀνειπεῖν ἐκέλευσαν — ἰέναι εἰς τὴν ἀγοράν. Solenne est ἀνειπεῖν de iis, quæ voce præconis edicuntur, uti et ἀναγορεύειν. Vid. apud Demosthenem pro Cor. p. 244. 2. ed. R. Aristoph. Av. 1084. Ταῦτα βουλόμεσθ' ἀνειπεῖν. In. Pace v. 549.

Ἴθι νῦν, ἄνειπε τοὺς γεωργοὺς ἀπιέναι.
Sluiter.

Σημεῖον] Signum, quod quamdiu esset sublatum, concio manebat, detracto autem, concio dissoluta erat. Tale quid etiam apud Romanos in comitiis obtinebat. Reisk.

Οἱ δὲ] Subaudi ἄλλοι πολῖται. Idem.

περιτύχοι τῷ πράγματι, ἔλεγε. καὶ τούτοις, ὦ ἄνδρες, δέομαι ὑμῶν προσέχοντας τὸν νοῦν ἀναμιμνήσκεσθαι ἐὰν ἀληθῆ λέγω, καὶ διδάσκειν ἀλλήλους· ἐν ὑμῖν γὰρ ἦσαν οἱ λόγοι, καί μοι ὑμεῖς τούτων μάρτυρές ἐστε. ἔφη γὰρ εἶναι μὲν ἀνδράποδόν οἱ ἐπὶ [1] Λαυρίῳ, δεῖν δὲ κομίσασθαι ἀποφοράν. ἀναστὰς δὲ πρῲ, ψευσθεὶς τῆς ὥρας βαδίζειν· εἶναι δὲ πανσέληνον. ἐπεὶ δὲ παρὰ τὸ Προπύλαιον [2] τὸ Διονύσου ἦν, ὁρᾷν ἀνθρώπους πολλοὺς ἀπὸ τοῦ ᾠδείου καταβαίνοντας εἰς τὴν ὀρχήστραν· δείσας δὲ αὐτοὺς, εἰσελθὼν ὑπὸ τὴν σκιὰν καθέζεσθαι μεταξὺ τοῦ κίονος καὶ τῆς στήλης ἐφ᾽ ᾗ ὁ στρατηγός ἐστιν ὁ χαλκοῦς. ὁρᾷν δὲ ἀνθρώπους τὸν [3] μὲν ἀριθμὸν [4] μάλιστα τριακοσίους, ἑστάναι δὲ κύκλῳ ἀνὰ πέντε καὶ δέκα ἄνδρας, τοὺς δὲ ἀνὰ εἴκοσιν· ὁρῶν δὲ αὐτῶν πρὸς τὴν σελήνην τὰ πρόσωπα τῶν πλείστων γινώσκειν. καὶ πρῶτον μὲν, ὦ ἄνδρες, τοῦθ᾽ ὑπέθετο δεινότατον πρᾶγμα (οἶμαι) 20
ὅπως ἐν ἐκείνῳ εἴη ὅντινα βούλοιτο Ἀθηναίων φάναι τῶν ἀνδρῶν τούτων εἶναι, ὅντινα δὲ μὴ βούλοιτο, λέγειν ὅτι οὐκ ἦν. ἰδὼν δὲ ταῦτ᾽ ἔφη ἐπὶ [5] Λαύριον ἰέναι, καὶ τῇ ὑστεραίᾳ ἀκούειν ὅτι οἱ Ἑρμαῖ εἶεν περικεκομμένοι· γνῶναι οὖν εὐθὺς ὅτι τούτων εἴη τῶν ἀνδρῶν τὸ ἔργον. ἥκων δὲ εἰς ἄστυ ζητητάς τε ἤδη ᾑρημένους [6] καταλαμβάνειν καὶ μήνυτρα κεκηρυγμένα ἑκατὸν μνᾶς. ἰδὼν δὲ Εὔφημον τὸν Καλλίου τοῦ Τηλεκλέους ἀδελφὸν ἐν τῷ χαλκείῳ καθήμενον, ἀναγαγὼν αὐτὸν εἰς τὸ Ἡφαιστεῖον λέγειν ἅπερ ὑμῖν ἐγὼ εἴρηκα, ὡς ἴδοι ἡμᾶς ἐν ἐκείνῃ τῇ νυκτί· οὔκουν δέοιτο παρὰ τῆς πόλεως

[1] Λαυρείῳ [2] τοῦ [3] Deest *μέν*. [4] Deest *μάλιστα*.
[5] Λαυρεῖον [6] καταλαμβάνει

Ἀναστὰς δὲ] Malim *ἀναστὰς οὖν*. IDEM.

Ὁρᾷν δὲ ἀνθρώπους τὸν ἀριθμὸν τριακοσίους] Galenus t. v. p. 603. vim vocis *μάλιστα*, qua notat *fere*, explicans apud Hippocratem, locum citat Andocidis *ἐν τῷ περὶ μυστηρίων· ἄδων δ᾽ ἀνθρώπους τὸν μὲν ἀριθμὸν μάλιστα τριακοσίους*. Unde hic locus restituendus: *ἰδεῖν δὲ ἀνθρώπους τὸν μὲν ἀριθμὸν μάλιστα τριακοσίους, ἑστάναι δὲ*—nam et *ἰδεῖν* hic scribendum videtur variandi causa; præcedit enim, *ὁρᾷν ἀνθρώπους*, et statim sequitur, *ὁρῶν δὲ αὐτῶν — τὰ πρόσωπα*. SLUITER.

Πρὸς τὴν σελήνην —] Diodor. Sic. lib. 13. Historici cæteri. TAYLOR.

Καταλαμβάνει] Malim infinitivum *καταλαμβάνειν*, ut præcedentia et insequentia, est enim hæc obliqua oratio narrantis. REISK. Sic et Valckenaerius. SLUITER.

Ἐν τῷ χαλκείῳ] Χαλκεῖον est h. l. porticus illa (*Halle*, aut *Basar*) ubi venibant olim ollæ æneæ, seræ, supellex omnis, ære aut ferro facta a fabris serariis atque bractearum cusoribus. Nisi potius est officina fabrilis seraria, cujus dominus Euphemus ille fuisse videtur. REISK.

Ἐν τῷ χαλκείῳ] Valckenaerius malebat *ἔν τῳ* — pro *ἔν τινι*. Plura enim erant *χαλκεῖα* Athenis, in quibus, uti et in tonstrinis aliisque ejusmodi officinis, Athenienses confabulandi causâ convenire solebant. SLUITER.

Ἡφαιστεῖον] Vid. Meurs. Athen. Att. l. i. c. 4.

χρήματα λαβεῖν μᾶλλον ἢ παρ᾽ ἡμῶν, ὥσθ᾽ ἡμᾶς ἔχειν φίλους. εἰπεῖν οὖν τὸν Εὔφημον ὅτι καλῶς ποιήσειεν εἰπών, καὶ νῦν ἥκειν κελεῦσαί οἱ εἰς τὴν Λεωγόρου οἰκίαν, ἵνα ἐκεῖ συγγένῃ μετ᾽ ἐμοῦ Ἀνδοκίδῃ καὶ ἑτέροις οἷς δεῖ. ἥκειν ἔφη τῇ
21 ὑστεραίᾳ, καὶ δὴ κόπτειν τὴν θύραν· τὸν δὲ πατέρα τὸν ἐμὸν τυχεῖν ἐξιόντα, καὶ εἰπεῖν αὐτὸν Ἀρά γέ σε οἵδε περιμένουσι; χρὴ μέντοι μὴ ἀπωθεῖσθαι τοιούτους φίλους. εἰπόντα δὲ αὐτὸν ταῦτα οἴχεσθαι. καὶ τούτῳ μὲν τῷ τρόπῳ τὸν πατέρα μου ἀπώλλυε, συνειδότα ἀποφαίνων. εἰπεῖν δὲ ἡμᾶς, ὅτι δεδογμένον ἡμῖν εἴη δύο μὲν τάλαντα ἀργυρίου διδόναι οἱ ἀντὶ τῶν ἑκατὸν μνῶν τῶν ἐκ τοῦ δημοσίου, ἐὰν δὲ κατάσχωμεν ἡμεῖς ἃ [1] βουλώμεθα, ἕνα αὐτῶν ἡμῶν εἶναι· πίστιν δὲ τούτων δοῦναί τε καὶ δέξασθαι. ἀποκρίνασθαι δὲ αὐτὸς πρὸς ταῦτα, ὅτι βουλεύσοιτο· ἡμᾶς δὲ κελεύειν αὐτὸν ἥκειν εἰς Καλλίου τοῦ Τηλεκλέους, ἵνα κἀκεῖνος παρείη. τὸν δ᾽ αὖ κηδεστήν μου οὕτως ἀπώλλυεν. ἥκειν ἔφη εἰς Καλλίου, καὶ [2] καθομολογήσας ἡμῖν πίστιν δοῦναι ἐν Ἀκροπόλει, καὶ ἡμᾶς συνθεμένους οἱ τὸ ἀργύριον εἰς τὸν εἰσιόντα μῆνα δώσειν διαψεύδεσθαι καὶ οὐ διδόναι· ἥκειν οὖν μηνύσων τὰ γενόμενα.

22 ι΄. Ἡ μὲν εἰσαγγελία αὐτῶν, ὦ ἄνδρες, τοιαύτη· ἀπογράφει δὲ τὰ ὀνόματα τῶν ἀνδρῶν, ὧν ἔφη γνῶναι, δύο καὶ τετταράκοντα, πρώτους μὲν Μαντίθεον καὶ [3] Ἀφεψίωνα,

[1] βουλόμεθα ἕνα αὐτὸν [2] καθοδηγήσας [3] Ἀψεφίονα

Κελεῦσαί οἱ] Suo hortatu, aut in gratiam suam. nisi si legi malumus: ἅμα οἱ, *una secum.* Reisk.

Ἵνα ἐκεῖ συγγένῃ μετ᾽ ἐμοῦ Ἀνδοκίδῃ καὶ ἑτέροις οἷς δεῖ] Absurde, Valckenaerio judice, suum ipse nomen hic memorasset Andocides: ad μετ᾽ ἐμοῦ adscriptum ab aliquo credidit Ἀνδοκίδου: de quo tamen equidem dubito, cum referantur verba Euphemi. Quod si vera sit Valckenaerii conjectura, legendum videtur συγγένηται. Porro suspicatus est Valckenaerius, ἑταίροις legendum esse pro ἑτέροις, quod ad p. 2. v. 33. ed. Steph. indicavi. Sluiter.

Δεῖ ἥκειν] Disjunxi hæc interponendo puncto. nam in verbo δεῖ desinit oratio Euphemi. tum rursus incipit obliqua oratio, seu expositio Dioclidis. Venisse se aiebat, (nempe Dioclides) v. versu 15. et 20. Reisk.

Εἰπεῖν αὐτὸν] Malim εἰπεῖν πρὸς αὐτόν. patrem meum dixisse ad sese, Diocliden puta. Idem.

Ἀρά γε] Non satis placet. Num δεῦρ᾽ ἄγε, *huc ades, agedum.* οἵδε σε περιμένουσιν, *hi te exspectant.* an, id quod in Latinis reddidi, δηρόν γέ σε οἵδε περιμένουσι, *jam dudum hi te exspectant.* Idem.

Βουλόμεθα] Malim aut βουλοίμεθα, in optativo, aut βουλώμεθα, in conjunctivo. Idem.

Ἕνα αὐτῶν] Dedi de meo ἕνα αὐτόν. Summa rerum ubi potiti fuerimus, nos se quoque, Diocliden puta, in collegium nostrum cooptaturos esse. Idem.

Δοῦναι] Aptus est hic infinitivus, cum proximo δέξασθαι, e δεδογμένον ἡμῖν εἴη versu 10. Idem.

Καθοδηγήσας] Cum viam nobis subsequentibus præisset in Acropolin. Idem.

Αὐτῶν] Imo vero αὐτῷ. Ei, Dioclidi, hæc erat denunciatio. h. e. hoc modo denunciavit nos Dioclides. Idem.

Ἀψεφίονα] Ubique scribe Ἀφεψίωνα.

βουλευτὰς ὄντας καὶ καθημένους ἔνδον, εἶτα δὲ καὶ τοὺς
ἄλλους. ἀναστὰς δὲ Πείσανδρος ἔφη χρῆναι λύειν τὸ ἐπὶ
Σκαμανδρίου ψήφισμα καὶ ἀναβιβάζειν ἐπὶ τὸν τροχὸν
τοὺς ἀπογραφέντας, ὅπως μὴ πρότερον νὺξ ἔσται πρὶν
πυθέσθαι τοὺς ἄνδρας ἅπαντας. ἀνέκραγεν ἡ βουλὴ, ὡς
7. εὖ λέγει. ἀκούσαντες δὲ ταῦτα Μαντίθεος καὶ [1] Ἀφε-
ψίων ἐπὶ τὴν ἑστίαν ἐκαθέζοντο, ἱκετεύοντες μὴ στρεβλω-
θῆναι, ἀλλ᾽ ἐξεγγυηθέντας κριθῆναι. μόλις δὲ τούτων τυ-
χόντες, ἐπειδὴ τοὺς ἐγγυητὰς κατέστησαν, ἐπὶ τοὺς ἵππους
ἀναβάντες, ᾤχοντο εἰς τοὺς πολεμίους αὐτομολήσαντες,
καταλιπόντες τοὺς ἐγγυητὰς, οὓς ἔδει τοῖς αὐτοῖς ἐνέχε-
σθαι, ἐν οἷσπερ οὓς ἠγγυήσαντο. ἡ δὲ βουλὴ ἐξελθοῦσα ἐν
ἀποῤῥήτῳ συνέλαβεν ἡμᾶς καὶ ἔδησεν ἐν τοῖς ξύλοις. ἀνα- 23
καλέσαντες δὲ τοὺς στρατηγοὺς ἀνειπεῖν ἐκέλευσαν, Ἀθη-
ναίων τοὺς μὲν ἐν ἄστει οἰκοῦντας ἰέναι εἰς τὴν ἀγορὰν τὰ
ὅπλα λαβόντας, τοὺς δ᾽ ἐν μακρῷ τείχει [2] εἰς τὸ Θησεῖον,
τοὺς δ᾽ ἐν Πειραιεῖ εἰς τὴν Ἱπποδαμίαν ἀγορὰν, τοὺς
δ᾽ ἱππεῖς ἔτι νυκτὸς σημῆναι τῇ σάλπιγγι ἥκειν εἰς τὸ
Ἀνάκειον, τὴν δὲ βουλὴν εἰς Ἀκρόπολιν ἰέναι κἀκεῖ καθεύ-
δειν, τοὺς δὲ πρυτάνεις ἐν τῇ Θόλῳ. Βοιωτοὶ δὲ πεπυσμένοι
τὰ πράγματα ἐπὶ τοῖς ὁρίοις ἦσαν ἐξεστρατευμένοι. τὸν δὲ
τῶν κακῶν τούτων αἴτιον Διοκλείδην, ὡς σωτῆρα ὄντα τῆς
πόλεως, ἐπὶ ζεύγους ἦγον εἰς τὸ Πρυτανεῖον [3] στεφανώσαν-
τες, καὶ ἐδείπνει ἐκεῖ.

ια.′ Πρῶτον μὲν οὖν ταῦτα, ὦ ἄνδρες, ὁπόσοι ὑμῶν πα-
ρῆσαν, ἀναμιμνήσκεσθε καὶ τοὺς ἄλλους διδάσκετε· εἶτα

[1] Ἀψεφίων [2] εἴς γε [3] στεφανώσοντες

Idem.

Ἔνδον] Id est, ἐν τῷ βουλευτηρίῳ. Idem.

Σκαμανδρίου] Scamandrii decretum videtur interdixisse, ne quis civis Atheniensis tormentis subjiceretur. Idem.

Ἑστίαν] Aram Vestæ, quæ in aditu Curiæ vel Senaculi erat, ad quam etiam Theramenes confugit. Idem.

Ἐξεγγυηθέντας] Mos Atticus postulat ἐξεγγυηθέντες. Sluiter.

Αὐτομολήσαντες] Malim αὐτομολήσοντες in futuro. Reisk.

Ἐξελθοῦσα] Malim sic distingui: ἐξελθοῦσα, *cum esset e Senaculo egressus*, ἐν ἀποῤῥήτῳ συνέλαβεν ἡμᾶς, *clam nos corripuit*. Sed verti aliter. Idem.

Μακρῷ τείχει] Vid. Meurs. Athen. Att. l. iii. c. 11. et Att. Lect. l. iii. c. 4.

Εἴς γε Θησεῖον] Pro particula γε malim articulum τό. Reisk. Vid. Meurs. Att. Lect. l. v. c. 15.

Ἱπποδαμίαν] Vid. Meurs. Att. Lect. l. v. c. 19.

Ἔτι νυκτὸς] Non sunt hæc noctu gesta, sed interdiu: neque jussi equites adhuc noctu, id est ante diluculum, ad stationem illam venire, sed noctu vel versus noctem. Itaque legendum videtur, vel ἐπὶ νυκτὸς, *noctu*, vel ἐπὶ νύκτα, *sub noctem*. Sluiter.

Ἀανάκειον] Vid. Meurs. Athen. Att. l. i. c. 7.

δέ μοι τοὺς πρυτάνεις [1] κάλει τοὺς τότε πρυτανεύσαντας, Φιλοκράτη καὶ τοὺς ἄλλους [διδάσκετε].

ΜΑΡΤΥΡΕΣ.

φέρε δὴ, καὶ τὰ ὀνόματα ὑμῖν ἀναγνώσομαι τῶν ἀνδρῶν
24 ὧν [2] ἀπέγραψεν, ἵν᾽ εἰδῆτε ὅσους μοι τῶν συγγενῶν ἀπώλλυε. πρῶτον μὲν τὸν πατέρα, εἶτα δὲ τὸν κηδεστὴν, τὸν μὲν συνειδότα ἀποδεικνὺς, τοῦ δ᾽ ἐν τῇ οἰκίᾳ φάσκων τὴν σύνοδον γενέσθαι. τῶν δ᾽ ἄλλων ἀκούσεσθε τὰ ὀνόματα. καὶ αὐτοῖς ἀναγίνωσκε.

Χαρμίδης Ἀριστοτέλους.

οὗτος ἀνεψιὸς ἐμός· ἡ [3] μήτηρ ἡ ἐκείνου καὶ ὁ πατὴρ ὁ ἐμὸς ἀδελφοί.

Ταυρέας.

οὑτοσὶ ἀνεψιὸς τοῦ πατρός.

Νισαῖος.

υἱὸς Ταυρέου.

Καλλίας ὁ Ἀλκμαίονος.

ἀνεψιὸς τοῦ πατρός.

Εὔφημος.

Καλλίου τοῦ Τηλεκλέους ἀδελφός.

Φρύνιχος ὁ ὀρχησάμενος.

ἀνεψιός.

[1] εἰσκάλει

[2] ἔγραψεν

[3] μήτηρ ἐκείνου καὶ ὁ ἐμὸς πατὴρ

Διδάσκετε] Vocabulum διδάσκετε tollendum est, ut perperam e versu ult. p. 243. iteratum, ideoque uncis inclusi. Reisk.

Ἔγραψεν] Non improbo. Sed ἀπογράφειν in ea re verbum est proprium. Idem.

Ἀπώλλυε] Perditum ivit, pessumdare laboravit. Idem.

Κηδεστὴν] Calliam, meæ sororis maritum. Idem.

Ἀναγίνωσκε] Post ἀναγίνωσκε titulum ONOMATA excidisse censet Markland ad Lysiam p. 133. 20. ed. Steph. Sluiter.

Ὁ ὀρχησάμενος ἀνεψιὸς] Num ὁ Ἐρχιεὺς, ἐμὸς ἀνεψιός. an ὁ Ἀρχεβιάδου, ἐμὸς ἀν. an ὁ Ἀκουμενοῦ ἀνεψιός. Acumenus aliquoties ante fuit nominatus. Idem.

Φρύνιχος ὁ ὀρχησάμενος, ἀνεψιὸς] E codice notatur Ὀρχησαμένου. Reiske complures conjecturas proponit. At non opus est quidquam mutare. Phrynichi, tempore Andocidis, illustriores quatuor fuerunt: celeberrimus omnium fuit acer ille Alcibiadis adversarius, qui odio illius fortunam patriæ Lacedæmoniis prodere studuit; de quo vid. Thucydides l. VIII. passim c. 25—92. Lysias p. 136. 159. et 171. ed. Steph. Plutarchus in Alcib. p. 204. seq. Suidas v. Φρυνίχου πάλαισμα. Tres præterea alii Phrynichi memorantur a Scholiaste Aristophanis ad illa in Avibus v. 750.

Ἔνθεν, ὥσπερ ἡ μέλιττα,
Φρύνιχος ἀμβροσίων
Μελέων ἀπεβόσκετο καρπὸν, ἀεὶ
Φέρων γλυκεῖαν ᾠδήν.

Τέτταρες δὲ, ait Scholiastes, ἐγένοντο Φρύνιχοι· ὁ μὲν εἷς οὗ νῦν μνημονεύει, Πολυφράδμονος παῖς, ποιητὴς ἡδὺς ἐν τοῖς μέλεσιν· ὁ ἕτερος Χοροκλέους παῖς ὑποκριτής· τρίτος Φρύνιχος ὁ κωμικὸς, οὗ μέμνηται Ἑρμίππος ἐν Φορμοφόροις, ὡς ἀλλότρια ὑποβαλλομένου ποιήματα· quartus is, de quo diximus: totidemque enumerat Scholiastes ad Ran. v. 13. Hunc autem Aristophanis locum male de Comico Phrynicho accepit Suidas. Tragicus ille fuit simplicior quidem, nec satis excultus, at dulcis tamen in poesi, floruitque ante Æschylum. Vide Aristophanem in Ran. v. 941. et 1333. seqq. in Vespis v.

Εὐκράτης, ὁ Νικίου ἀδελφός.
κηδεστὴς οὗτος Καλλίου.

Κριτίας.
ἀνεψιὸς [Εὐκρατίας, ὁ Νικίου ἀδελφὸς] καὶ οὗτος τοῦ πατρός· αἱ μητέρες ἀδελφαί. τούτους [1] πάντας ἐν τοῖς τετταράκοντα ἀνδράσιν ἀπέγραψεν.

ιβʹ. Ἐπειδὴ δὲ ἐδεδέμεθα πάντες ἐν τῷ αὐτῷ, καὶ νύξ τε ἦν καὶ τὸ δεσμωτήριον συνεκέκλειστο, ἧκον δὲ, τῷ μὲν μήτηρ, τῷ δὲ ἀδελφὴ, τῷ δὲ γυνὴ καὶ παῖδες, ἦν δὲ βοὴ καὶ οἶκτος κλαιόντων καὶ ὀδυρομένων τὰ παρόντα κακὰ, λέγει πρός με Χαρμίδης, ὢν μὲν ἀνεψιὸς, ἡλικιώτης δὲ καὶ συν-

[1] ἅπαντας

220. et 269. et Scholia ad illa loca: conf. Thesmoph. v. 171. Alius fuit Tragicus Phrynichus, Melanthæ filius, hoc, ut videtur, paullo antiquior, quem Athenienses ob fabulam, Μιλήτου ἅλωσιν, mille drachmis mulctarunt. Plura de his peti possunt ex Fabricio Bibl. Gr. Vol. I. p. 687. et 732. qui tamen posteriore loco non recte Phrynichum *Melicum poetam suavem* a Tragico distinguit, ex male intellecto Scholio ad Aves l. c. Quartus Phrynichus poeta fuit veteris Comœdiæ, cujus mentio est apud Aristophanem Nub. v. 553. seqq.

> Εὔπολις μὲν τὸν Μαρικᾶν πρώτιστον παρείλκυσεν,
> Ἐκστρέψας τοὺς ἡμετέρους Ἱππέας κακὸς κακῶς·
> Προσθεὶς αὐτῷ γραῦν μεθύσην, τοῦ κόρδακος οὕνεκα,
> Ἣν Φρύνιχος πάλαι πεποίηχ', ἣν τὸ κῆτος ἤσθιεν.

Ubi præter alia notat Scholiastes: εἰσῆγε γραῦν Φρύνιχος ὑπὸ κήτους ἐσθιομένην, κατὰ μίμησιν Ἀνδρομέδας, διὰ γέλωτα τῶν θεατῶν· ἦν δὲ καὶ αὐτὸς κωμῳδίας ποιητής. Reprehendit eum Comicus in Ran. v. 12. seqq.

> Τί δῆτ' ἔδει με ταῦτα τὰ σκεύη φέρειν;
> Εἴπερ ποιήσω μηδὲν ὧνπερ Φρύνιχος
> Εἴωθε ποιεῖν, καὶ Λύκις κ' Ἀμειψίας;
> Σκεύη φέρουσ' ἑκαστότ' ἐν κωμῳδίᾳ.

ad q. l. Scholia monent, Didymo judice loqui poetam de Comico Phrynicho Eunomidæ filio, qui notetur ut peregrinus, et malus poeta, quippe qui aliena sæpe proferat, et metrum negligat. Animadvertit tamen nihil tale fecisse Phrynichum in Dramatibus, quæ ipse viderit, forte autem in aliis, quæ perierint, illud commisisse. Omisit hæc loca Fabricius, qui Bibl. Gr. Vol. I. p. 732. et 783. de Comico Phrynicho agit, male Eunomidæ filium ab hoc diversum credens. De Poetis hujus nominis conf. Meursius in Biblioth. Attic. Quintus Phrynichus memoratur histrio Tragicus, quem notari ab Aristophane Nub. 1087. his verbis:

> Τί δαί; τραγῳδοῦσ' ἐκ τίνων;
> Ἐξ εὐρυπρώκτων·

monet Scholiastes: εἰς Φρύνιχον φασὶν αὐτὸν ἀποτείνειν τὸν τραγικὸν χορευτήν· ἐπεὶ διεβάλλετο ἐπὶ μαλακίᾳ διὰ ποικιλίαν σχημάτων. Inter vinolentos homines et protervos eum collocat Comicus in Vesp. v. 1293. atque illum in saltando crus altius tollere fuisse solitum significat in eadem fabula v. 1515. καὶ τὸ φρυνίχειον Ἐκλακτισάτω τις. Conf. Scholia ad illa loca. Hunc etiam respicere videtur ibid. v. 1481. seqq.

> Πτήσσει Φρύνιχος ὥς τις ἀλέκτωρ.
> Σκέλος οὐράνιόν γ' ἐκλακτίζων
> Πρωκτὸς χάσκει.

quamvis Scholiastes hoc de Melanthæ filio dictum velit. Nos igitur Φρύνιχον τὸν ὀρχησάμενον, ἀνεψιὸν Andocidis, actorem illum Tragœdiarum fuisse censemus. Neque enim illud munus turpe fuit Athenis. Sluiter.

Εὐκρατίας] Vocabula Εὐκρατίας ὁ Νικίου ἀδελφὸς ut amputanda uncis inclusi. liquet enim perperam e proximo esse iterata. Reisk.

Εὐκρατίας, ὁ Νικίου ἀδελφὸς κ. τ. λ.] Reiskio hæc vitiata censenti merito assentitur Valckenaerius, existimans hæc sine Codice sanari non posse. Interea conjicit an, deletis Κριτίας ἀνεψιὸς, legendum sit: Εὐκράτης, ὁ Νικίου ἀδελφὸς, κηδεστὴς οὗτος Καλλίου· Κριτίας ὁ Νικίου· ἀδελφὸς καὶ οὗτος (nempe Nicias) τοῦ πατρὸς, αἵτε μητέρες ἀδελφαί. Sluiter.

Πατρός· αἱ μητέραι] Π. πατρὸς ἀνεψιός· αἱ μετέρες. H. Stephan. Dedi μητέρες. mallem tamen adhuc γὰρ addi. αἱ γὰρ μητέρες—. Reisk.

ἐκτραφεὶς ἐν τῇ οἰκίᾳ τῇ ἡμετέρᾳ ἐκ παιδὸς, ὅτι, Ἀνδοκίδη, τῶν μὲν παρόντων κακῶν ὁρᾷς τὸ μέγεθος, ἐγὼ δ᾽ ἐν μὲν τῷ παρελθόντι χρόνῳ οὐδὲν ἐδεόμην λέγειν οὐδέ σε λυπεῖν, νῦν δὲ ἀναγκάζομαι διὰ τὴν παροῦσαν ἡμῖν συμφοράν. οἷς γὰρ ἐχρῶ καὶ οἷς συνῆσθα ἄνευ ἡμῶν τῶν συγγενῶν, οὗτοι ἐπὶ ταῖς αἰτίαις δι᾽ ἃς ἡμεῖς ἀπολλύμεθα, οἱ μὲν αὐτῶν τεθνᾶσιν, οἱ δὲ οἴχονται φεύγοντες, σφῶν αὐτῶν καταγνόντες ἀδικεῖν .... εἰ ἤκουσάς τι τούτου τοῦ πράγματος τοῦ γενομένου, εἰπὲ, καὶ πρῶτον μὲν σεαυτὸν σῶσον, εἶτα δὲ τὸν πατέρα ὃν εἰκός ἐστί σε μάλιστα φιλεῖν, εἶτα δὲ τὸν κηδεστὴν ὃς ἔχει σου τὴν ἀδελφὴν ἥπερ σοι μόνη ἐστὶν, ἔπειτα δὲ τοὺς ἄλλους συγγενεῖς καὶ ἀναγκαίους τοσούτους ὄντας, ἔτι δὲ ἐμὲ, ὃς ἐν ἅπαντι τῷ βίῳ ἠνίασα μέν σε οὐδὲν πώποτε, προθυμότατος δὲ εἰς σὲ καὶ τὰ σὰ πράγματα εἰμὶ, ὅ τι ἂν δέοι ποιεῖν. λέγοντος δὲ, ὦ ἄνδρες, Χαρμίδου ταῦτα, ἀντιβολούντων δὲ τῶν ἄλλων καὶ ἱκετεύοντος ἑνὸς ἑκάστου, ἐνεθυμήθην πρὸς ἐμαυτὸν, Ὦ πάντων ἐγὼ δεινοτάτῃ συμφορᾷ περιπεσὼν,
26 πότερα περιίδω τοὺς ἐμαυτοῦ συγγενεῖς ἀπολλυμένους ἀδίκως, καὶ αὐτούς τε ἀποθανόντας καὶ τὰ χρήματα αὐτῶν δημευθέντα, πρὸς δὲ τούτοις ἀναγραφέντας ἐν στήλαις ὡς ὄντας ἀλιτηρίους τῶν θεῶν τοὺς οὐδενὸς αἰτίους τῶν γεγενημένων, ἔτι δὲ τριακοσίους Ἀθηναίων μέλλοντας ἀδίκως [1]ἀπολέσθαι, τὴν δὲ πόλιν ἐν κα- 8. 1
κοῖς οὖσαν τοῖς μεγίστοις καὶ ὑποψίαν εἰς ἀλλήλους ἔχοντας, ἢ εἴπω Ἀθηναίοις ἅπερ ἤκουσα Εὐφιλήτου αὐτοῦ τοῦ ποιήσαντος; ἔτι δὲ ἐπὶ

[1] ἀπολεῖσθαι

Εἰ ἤκουσας] Interpone οὖν aut τοίνυν. IDEM.

Πράγματος τοῦ γενομένου, εἰπὲ] Distinguo et lego sic: πράγματος, τὰ γενόμενα εἰπέ. v. p. 8. 10. et 20. IDEM.

Ἔχοντας, ἢ εἴπω Ἀθηναίοις] Vox Ἀθηναίοις loco videtur mota Clar. Luzacio, ita emendanda, ut jungatur cum ἔχοντας, quod nomen, quo pertineat, non habet; neque enim conjungi potest cum πόλιν — οὖσαν. Itaque legit Vir Clar. καὶ ὑποψίαν εἰς ἀλλήλους ἔχοντας Ἀθηναίους, ἢ εἴπω ἅπερ ἤκουσα Εὐφιλήτου αὐτοῦ τοῦ ποιήσαντος. SLUITER.

τούτοις καὶ τόδε ἐνεθυμήθην, ὦ ἄνδρες, καὶ ἐλογιζόμην πρὸς ἐμαυτὸν τοὺς ἐξημαρτηκότας καὶ τὸ ἔργον [1] εἰργασμένους, ὅτι οἱ μὲν αὐτῶν ἤδη ἐτεθνήκεσαν ὑπὸ Τεύκρου μηνυθέντες, οἱ δὲ φεύγοντες ᾤχοντο καὶ αὐτῶν θάνατος κατέγνωστο τέτταρες δὲ ἦσαν ὑπόλοιποι οἳ οὐκ ἐμηνύθησαν ὑπὸ Τεύκρου τῶν πεποιηκότων, Παναίτιος, Χαιρέδημος, Διάκριτος, Λυσίστρατος, οὓς εἰκὸς ἦν ἁπάντων μάλιστα δοκεῖν εἶναι τούτων τῶν ἀνδρῶν οὓς ἐμήνυσε Διοκλείδης, φίλους ὄντας τῶν ἀπολωλότων ἤδη. καὶ τοῖς μὲν οὐδέπω βέβαιος ἦν ἡ σωτηρία, τοῖς δὲ ἐμοῖς οἰκείοις φανερὸς ὄλεθρος, εἰ μή τις ἐρεῖ Ἀθηναίοις τὰ γενόμενα. ἐδόκει οὖν μοι κρεῖττον εἶναι τέτταρας ἄνδρας ἀποστερῆσαι τῆς πατρίδος δικαίως, οἳ νῦν ζῶσι καὶ κατεληλύθασι καὶ ἔχουσι τὰ σφέτερα αὐτῶν, ἢ ἐκείνους ἀποθανόντας ἀδίκως περιϊδεῖν. εἰ οὖν τινὶ ὑμῶν, ὦ ἄνδρες, [2] ἡ τῶν ἄλλων πολιτῶν γνώμη τοιαύτη παρειστήκει πρότερον περὶ ἐμοῦ, ὡς ἄρα ἐγὼ ἐμήνυσα κατὰ 27
τῶν ἑταίρων τῶν ἐμαυτοῦ, ὅπως ἐκεῖνοι μὲν ἀπόλοιντο, ἐγὼ δὲ σωθείην — ἃ ἐλογοποίουν οἱ ἐχθροὶ περὶ ἐμοῦ, βουλόμενοι διαβάλλειν με —, σκοπεῖσθε ἐξ αὐτῶν τῶν γεγενημένων. νῦν γὰρ ἐμὲ μὲν λόγον διδόναι τῶν ἐμοὶ πεπραγμένων μετὰ τῆς ἀληθείας, αὐτῶν παρόντων οἵπερ ἥμαρτον καὶ ἔφυγον ταῦτα ποιήσαντες, ἴσασι δὲ ἄριστα εἴτε ψεύδομαι εἴτε ἀληθῆ λέγω, ἔξεστι δὲ αὐτοῖς ἐλέγχειν με ἐν τῷ ἐμῷ λόγῳ· ἐγὼ γὰρ ἐφίημι· ὑμᾶς δὲ δεῖ μαθεῖν τὰ γενόμενα. ἐμοὶ γάρ, ὦ ἄνδρες, τοῦδε τοῦ ἀγῶνος τοῦτ᾽ ἔστι μέγιστον, σωθέντι [3] μὴ δοκεῖν [4] κακῷ εἶναι, εἶτα δὲ καὶ

[1] ἐργασαμένους [2] Deest ἡ. [3] μοι [4] κακὸν

Διάκριτος] Non videtur hoc nomen Atticum esse, sed potius Διόκριτον, *a Jove delectum*, ut nomen fuit Θεόκριτος, *a diis delectus*, vel *prælatus*. REISK.

Διάκριτος] Nomen τοῦ Διακρίτου in Λάκριτον mutari mavult Valckenaer: uti est Oratio Demosthenis πρὸς τὴν Λακρίτου παραγραφήν. item p. 9. v. 36. ed. Steph. SLUITER.

Δοκεῖν] Post δοκεῖν videtur αἰτίους deesse. quos probabile erat fore, ut nemo non existimaret in primis in culpa et auctores sceleris esse. REISK.

Φανερὸς ὄλεθρος] Interpono articulum ὁ, ob præcedens οὔπω βέβαιος ἦν ἡ σωτηρία. IDEM.

Εἰ οὖν τινὶ ὑμῶν, ὦ ἄνδρες, τῶν ἄλλων πολιτῶν] Manifesto deest particula ἢ, et legendum: τινὶ ὑμῶν — ἢ τῶν ἄλλων πολιτῶν. De hoc usu verbi παρίστημι egit D'Orvillius ad Chariton. p. 391. SLUITER.

Λόγον διδόναι] Interpone δεῖ. REISK.

Σωθέντι μοι δοκεῖν] Leg. vid. σωθέντι μὴ δοκεῖν ὑμῖν κακὸν εἶναι (vel κακὸς εἶναι). Illud ὑμῖν ut addatur, necessarium facit oppositum καὶ τοὺς ἄλλους ἅπαντας. v. p. 248. 8. IDEM.

Σωθέντι μοι δοκεῖν κακὸν εἶναι] Jure Reiskius μοι mutari vult in μὴ, et ἡμῖν inserit inter δοκεῖν et κακόν: pro κακὸν Aldus edidit κακῶν: ad marginem notatum erat κακῷ, quod equidem præferam, quamvis et κακὸν stare possit. SLUITER.

τοὺς ἄλλους ἅπαντας μαθεῖν ὅτι οὔτε μετὰ κακίας οὔτε
μετ' [1] ἀνανδρίας οὐδεμιᾶς τῶν γεγενημένων πέπρακται ὑπ'
ἐμοῦ οὐδὲν, ἀλλὰ διὰ συμφορὰν γεγενημένην μάλιστα μὲν
τῇ [2] πόλει, εἶτα καὶ ἡμῖν, εἶπον δὲ ἃ ἤκουσα Εὐφιλήτου
προνοίᾳ μὲν τῶν συγγενῶν καὶ τῶν φίλων, προνοίᾳ δὲ τῆς
πόλεως ἁπάσης, μετ' ἀρετῆς ἀλλ' οὐ [3] μετὰ κακίας, ὡς
28 ἐγὼ νομίζω. εἰ οὖν οὕτως ἔχει ταῦτα, σώζεσθαί τε ἀξιῶ
καὶ δοκεῖν ὑμῖν εἶναι μὴ κακός. φέρε δὴ — χρὴ γὰρ, ὦ
ἄνδρες, ἀνθρωπίνως περὶ τῶν πραγμάτων ἐκλογίζεσθαι,
ὥσπερ ἂν αὐτὸν ὄντα ἐν τῇ συμφορᾷ —, τί ἂν ὑμῶν ἕκαστος
ἐποίησεν; εἰ μὲν γὰρ ἦν δυεῖν τὸ ἕτερον ἑλέσθαι, ἢ καλῶς
ἀπολέσθαι ἢ αἰσχρῶς σωθῆναι, ἔχοι ἄν τις εἰπεῖν κακίαν
εἶναι τὰ λεγόμενα· καίτοι πολλοὶ ἂν καὶ τοῦτο εἵλοντο, τὸ
ζῆν περὶ πλείονος ποιησάμενοι τοῦ καλῶς ἀποθανεῖν· ὅπου
δὲ τούτων τὸ ἐναντιώτατον ἦν, σιωπήσαντι μὲν αὐτῷ τε
αἴσχιστα ἀπολέσθαι μηδὲν ἀσεβήσαντι, ἔτι δὲ τὸν πατέρα
περιϊδεῖν [4] ἀπολόμενον καὶ τὸν κηδεστὴν καὶ τοὺς συγγενεῖς
καὶ ἀνεψιοὺς τοσούτους, οὓς οὐδεὶς ἀπώλλυεν ἢ ἐγὼ μὴ εἰπὼν
ὡς ἕτεροι ἥμαρτον. Διοκλείδης μὲν γὰρ ψευσάμενος ἔδη-
σεν αὐτοὺς, σωτηρία δὲ αὐτῶν ἄλλη οὐδεμία ἦν ἢ πυθέσθαι
Ἀθηναίους πάντα τὰ πραχθέντα· φονεὺς οὖν αὐτῶν ἐγινό-
μην ἐγὼ μὴ εἰπὼν ὑμῖν ἃ ἤκουσα. ἔτι δὲ τριακοσίους Ἀθη-
29 ναίων ἀπώλλυον, καὶ ἡ πόλις ἐν κακοῖς τοῖς μεγίστοις ἐγί-
νετο. ταῦτα μὲν οὖν [5] ἦν ἐμοῦ μὴ εἰπόντος· εἰπὼν δὲ τὰ ὄντα
αὐτός τε ἐσωζόμην καὶ τὸν πατέρα ἔσωζον καὶ τοὺς ἀλ-

[1] ἀδικίας [2] πολιτείᾳ τε καὶ ἡμῖν [3] μὴν [4] ἀπολούμενον [5] Deest ἦν.

Μάλιστα μὲν τῇ πολιτείᾳ] Fort. μάλιστα μὲν τῇ πολιτείᾳ, εἶτα δὲ καὶ ἡμῖν. Reisk. Leg. credo: μάλιστα μὲν τῇ πόλει, εἶτα δὲ καὶ ἡμῖν. Sic p. 227. 10. πιστεύσας μάλιστα μὲν τῷ δικαίῳ, ἔπειτα δὲ καὶ ὑμῖν. Sluiter.

Εἶπον δὲ] Particula adversativa δὲ videtur inducenda esse. Reddidi quidem eam in Latinis: mollior tamen atque expeditior erit oratio, si δὲ omittatur. Reisk.

Πόλεως ἁπάσης, μετ' ἀρετῆς] Aut ἁπάσης est iterandum, ad hunc modum: πόλεως ἁπάσης, ἁπάσης μετ' ἀρετῆς. aut saltim sic est distinguendum: πόλεως, ἁπάσης μετ' ἀρετῆς. Idem.

Μὴν κακίας] Pro μὴν leg. vid. μετά. ut modo dixerat μετ' ἀρετῆς, ita nunc subjicit ἀλλ' οὐ μετὰ κακίας. Reisk. Fortasse utrumque verbum retinendum: ἀλλ' οὐ μὴν μετὰ κακίας. Sluiter.

Αὐτὸν ὄντα] Subaudi τινὰ, aut ἕκαστον ὑμῶν e proximis. Reisk.

Τὰ λεγόμενα] Ea, quæ adhuc a me dicta et enarrata sunt. malim tamen τὰ γενόμενα. a me facta, facinus meum. Idem.

Ὅπου δὲ] Apodosis hujus sententiæ per longissimas ambages circumductæ est versu 6. p. 249. in verbis ταῦτα δὲ πάντα σκοπῶν, ubi δὲ inseruit solummodo resumendæ orationi. Idem.

Αὐτῷ τε] Si τε servatur, addendum erit καὶ versu proximo post ἔτι δέ. Idem.

Ταῦτα μὲν οὖν] Subaudi ἐγίγνετ' ἂν, aut ἦν ἂν πάσχειν. Idem.

λους συγγενεῖς, καὶ τὴν πόλιν ἐκ φόβου καὶ κακῶν τῶν μεγίστων ἀπήλλαττον. φυγάδες δὲ δι' ἐμὲ τέτταρες ἄνδρες ἐγίνοντο, οἵπερ καὶ ἥμαρτον· τῶν δ' ἄλλων οἱ λοιποὶ πρότερον ὑπὸ Τεύκρου ἐμηνύθησαν. οὔτε δήπου οἱ τεθνεῶτες δι' ἐμὲ μᾶλλον ἐτέθνασαν, οὔτε οἱ φεύγοντες μᾶλλον ἔφευγον. ταῦτα δὲ πάντα σκοπῶν εὕρισκον, ὦ ἄνδρες, τῶν παρόντων κακῶν ταῦτα ἐλάχιστα εἶναι, εἰπεῖν τὰ γενόμενα ὡς τάχιστα καὶ ἐλέγξαι Διοκλείδην ψευσάμενον, καὶ τι-
Ταῦτα] Illa versu 8. et 9. indicata, et p. 264. 1. repetita. REISK.

χειρὶ, ἂν δυνατὸς ὦ, ὃς ἂν καταλύσῃ τὴν δημοκρατίαν τὴν Ἀθήνησι, καὶ ἐάν τις ἄρξῃ τὴν ἀρχὴν καταλελυμένης τῆς δημοκρατίας [1]τὸ λοιπὸν, καὶ ἐάν τις τυραννεῖν ἐπαναστῇ ἢ τὸν τύραννον συγκαταστήσῃ· καὶ ἐάν τις ἄλλος ἀποκτείνῃ, ὅσιον αὐτὸν νομιῶ εἶναι καὶ πρὸς θεῶν καὶ δαιμόνων, ὡς πολέμιον κτείναντα τῶν Ἀθηναίων·
49 καὶ τὰ κτήματα τοῦ ἀποθανόντος πάντα ἀποδόμενος ἀποδώσω τὰ ἡμίσεα τῷ ἀποκτείναντι, καὶ λόγῳ [2]καὶ ἔργῳ καὶ ψήφῳ, καὶ οὐκ ἀποστερήσω οὐδέν. ἐὰν δέ τις κτείνων τινὰ τούτων ἀποθάνῃ ἢ ἐπιχειρῶν, εὖ ποιήσω αὐτόν τε καὶ τοὺς παῖδας τοὺς ἐκείνου, καθάπερ Ἁρμόδιόν τε καὶ Ἀριστογείτονα καὶ τοὺς ἀπογόνους αὐτῶν. ὁπόσοι δὲ ὅρκοι ὀμώμονται Ἀθήνησιν ἢ ἐν τῷ στρατοπέδῳ ἢ ἄλλοθί που ἐναντίοι τῷ δήμῳ τῶν Ἀθηναίων, λύω καὶ ἀφίημι. [3]ταῦτα δὲ [4]ὀμοσάντων Ἀθηναῖοι πάντες καθ' ἱερῶν τελείων, τὸν νόμιμον ὅρκον, πρὸ Διονυσίων· καὶ [5]ἐπεύχεσθαι εὐορκοῦντι μὲν εἶναι πολλὰ καὶ ἀγαθὰ, ἐπιορκοῦντι δ' ἐξώλη αὐτὸν εἶναι καὶ γένος.

[1] τολοιπὸν [2] Desunt καὶ ἔργῳ. [3] ταῦτα --- γένος Andocidis sunt. [4] ὠμόσατε [5] ἐπεύχεσθε

Ἄρξῃ τὴν ἀρχὴν] Pro media voce malim τιν', ut versu 9. p. 263. Idem.

Τῆς δημοκρατίας τολοιπὸν, καὶ ἐάν τις] Num sic leg. et distinguendum est: τῆς δημοκρατίας, καὶ τὸ λοιπὸν ἐάν τις. Idem.

Ἀποδώσω τὰ ἡμίσεα τῷ ἀποκτείναντι καὶ λόγῳ, καὶ ψήφῳ, καὶ οὐκ ἀποστερήσω οὐδὲν] In M. Ald. legitur καὶ λόγῳ, καὶ ἔργῳ, καὶ ψήφῳ. At Valckenaerius hæc loco mota putabat, neque aptum sane hic sensum habent. Acutissime Io. Luzacius Vir Clar. ea referenda esse vidit ad v. 1. hoc modo: κτενῶ τῇ ἐμαυτοῦ χειρὶ, ἂν δυνατὸς ὦ, καὶ λόγῳ, καὶ ψήφῳ, ὃς ἂν καταλύσῃ.— *occidam mea ipse, si possim, manu, vel suasor ero oratione ad populum, vel adsensum dabo in suffragio ferundo.* Sic de eodem hoc Demophanti Psephismate Lycurgus in Leocratem p. 165. v. 43. ed. Steph. Διομωμόκατε δ' ἐν τῷ ψηφίσματι τῷ Δημοφάντου κτείνειν τὸν τὴν πατρίδα προδιδόντα καὶ λόγῳ, καὶ ἔργῳ, καὶ χειρὶ, καὶ ψήφῳ. Ubi suspicatur Luzacius, verba καὶ ἔργῳ Glossema esse sequentis καὶ χειρί. Et fortasse e Lycurgi loco fluxit illud καὶ ἔργῳ, quod M. Ald. habet. Similem notaverat Valckenaerius locum Democriti apud Stobæum Serm. XLII. p. 279. v. 11. Κιξάλλην καὶ λῃστὴν πάντα κτείνων τὶς ἀθῷος ἂν εἴη καὶ αὐτοχειρίῃ καὶ κελεύων καὶ ψήφῳ: ubi κελεύων eandem habet potestatem, quam h. l. τῷ λόγῳ. Apud Æschinem π. τ. παραπρ. p. 43. v. 18. ed. Steph. in Jurejurando Amphictyonum:—τιμωρήσειν καὶ ποδὶ, καὶ χειρὶ, καὶ φωνῇ, καὶ πάσῃ δυνάμει. Conf. eundem in Ctesiphont. p. 69. v. 10. et p. 70. v. 29. Sluiter.

Τὸν νόμιμον ὅρκον] Hic videtur aliquid deesse. num leg. κατὰ νόμον τῶν νομίμων ὅρκων, *pro more juramentorum legitimorum.* Reisk.

Καὶ ἐπεύχεσθε εὐορκοῦντι μὲν εἶναι πολλὰ καὶ ἀγαθὰ] In margine edit. Aldinæ legitur πολλὰ καὶ καλὰ καὶ ἀγαθά. Quod sive ex Codice, sive ex conjectura notaverit Vir doctus, qui illo exemplari usus est, mihi quidem necessarium non videtur. Exquisita est et Attica formula πολλὰ κἀγαθὰ, sæpe apud optimos scriptores obvia. Lysias in Agorat. p. 139. v. 8. ed. Steph. πολλὰ κἀγαθὰ ὑμᾶς ποιήσαντες. Conf. p. 147. v. 35. p. 171. v. 19. et p. 172. v. 10. Xenophon Hellen. l. V. c. 1. §. 3. Aristophanes Vesp. v. 1295. Pace v. 435. et 537. Eccles. v. 453. Lysistr. v. 1162. nec dubito quin Thesmophor. v. 358. pro Εὔχεσθε πάσαις πολλὰ δοῦναι τἀγαθά. legendum sit πολλὰ δοῦναι κἀγαθά: item in Ranis v. 1071. pro πολλοὺς ἀγαθοὺς, malim inserto κ legi πολλοὺς κἀγαθοὺς, quod certe Ἀττικώτερον est. Nam et πολλοὶ κἀγαθοὶ Atticis est usitatum: vid. Lysiam p. 131. v. 3. p. 132. v. 18. et p. 135. v. 26. cæt. Aristophanem in Pace v. 968. seq. πολλὰ καὶ καλὰ est apud Lysiam p. 149. v. 26. πολλὰ καὶ δεινὰ apud eundem p. 133. v. 34. et p. 175. v. 8. Aristophanem Av. 861. Isocratem de Pace p. 180. D. πολλὰ καὶ κακὰ dixit Aristophanes Equit. v. 1273. πονηροὶ καὶ πολλοὶ, Lysias p. 170. v. 4. Attamen et πολλοὶ καὶ καλοὶ κἀγαθοὶ junguntur p. 184. v. 25. πόλλ' ἀγαθὰ et πολλὰ κακὰ dicitur ab Aristophane Eccles. v. 435. seq. hic vero, ut dicebam, mihi non necessarium videtur καὶ καλὰ e M. Ald. interponere. Uti autem bona omnia evenire precantur ei, qui jusjurandum religiose servet, ita contra imprecantur ἐπιορκοῦντι δὲ, ἐξώλη εἶναι αὐτὸν καὶ τὸ γένος. Sic quidem scribendum existimo: ab editis articulus abest. Sluiter.

ιζ'. Πότερον, ὦ συκοφάντα καὶ ἐπίτριπτον κίναδος, κύριος ὁ νόμος ὅδ' ἐστὶν ἢ οὐ κύριος; διὰ τοῦτο δ' οἶμαι γεγένηται ἄκυρος, ὅτι τοῖς νόμοις δεῖ χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος. καὶ σὺ ζῇς καὶ περιέρχῃ τὴν πόλιν ταύτην, οὐκ ἄξιος ὤν· ὃς ἐν δημοκρατίᾳ μὲν συκοφαντῶν ἔζης, ἐν ὀλιγαρχίᾳ δὲ, ὡς μὴ ἀναγκασθείης τὰ χρήματα ἀποδοῦναι ὅσα συκοφαντῶν ἔλαβες, ἐδούλευες τοῖς τριάκοντα. εἶτα σὺ περὶ ἑταιρείας ἐμοὶ μνείαν ποιῇ καὶ κακῶς τινὰς λέγεις; ὃς ἑνὶ μὲν οὐχ [1] ἡταιρήσας — καλῶς γὰρ ἄν σοι εἶχε —, πραττόμενος δ' οὐ πολὺ ἀργύριον τὸν βουλόμενον ἀνθρώπων, ὡς οὗτοι ἴσασιν, ἐπὶ τοῖς αἰσχίστοις ἔργοις ἔζης, καὶ 50
ταῦτα οὕτω μοχθηρὸς ὢν τὴν ἰδέαν. ἀλλ' ὅμως οὗτος [2] ἑτέρων ἐτόλμα κατηγορεῖν, ᾧ κατὰ τοὺς νόμους τοὺς ἡμετέρους οὐδ' αὐτῷ ὑπὲρ αὑτοῦ ἔστιν ἀπολογεῖσθαι. ἀλλὰ γὰρ, ὦ ἄνδρες, καθήμενος ἡνίκα μου κατηγόρει, βλέπων εἰς αὐτὸν, οὐδὲν ἄλλο ἢ [3] ὑπὸ τῶν τριάκοντα συνειλημμένος ἔδοξα κρίνεσθαι. εἰ γὰρ τότε ἠγωνιζόμην, τίς ἄν μου κατηγόρει; οὐχ οὗτος ὑπῆρχεν, εἰ μὴ ἐδίδουν ἀργύριον; καὶ γὰρ [4] νῦν.

[1] ἑταιρήσας [2] ἑταιρῶν [3] ἀπὸ [4] νῦν, ἀνέκρινε

Ἢ οὐ κύριος] Post ἢ οὐ κύριος repetenda videntur hæc duo verba οὐ κύριος per modum responsionis. REISK.

Ἀποδοῦναι] Repetentibus dominis. IDEM.

Περὶ ἑταιρείας — οὐχ ἑταιρήσας] Harpocration de v. Ἑταιρεία hoc notat: ἰδίως ἐπὶ τῆς ἑταιρήσεως τοὔνομα τέταχεν Ἀνδοκίδης, ἐν τῇ περὶ τῶν Μυστηρίων ἀπολογίᾳ, et hinc idem notat Suidas in v. Verbum ἑταιρήσας mutari malim in ἡταίρησας, si quando in Codice ita inveniatur: quamvis etiam, uti nunc legitur, loci structura Grammatices præceptis non sit contraria. SLUITER.

Ἑταιρῶν] Imo vero ἑτέρων. opponuntur inter se ἑτέρων κατηγορεῖν et ὑπὲρ ἑαυτοῦ ἀπολογεῖσθαι. REISK.

Ἑταιρῶν] Reiskius ἑτέρων pro ἑταιρῶν legere jubet, et ita etiam Valckenaerius. "Erat, inquit, Cephisius accusator, ut e proximis liquet, turpi quæstu ἑταιρηκὼς, quali publice verba facere non licebat. Hic tamen ἑτέρων legendum: οὗτος ὁ ἑταιρῶν ἑτέρων ἐτόλμα κατηγορεῖν." SLUITER.

Ἀπὸ τῶν τριάκοντα] Præpositioni ἀπὸ hic locus non est: scribendum ὑπὸ uti p. 266. 10. et sic etiam judicaverat Valckenaerius, et in M. Ald. scriptum inveni. IDEM.

Εἰ γὰρ τότε ἠγωνιζόμην] Apodosis hujus sententiæ paulo circumductioris habetur p. 266. 9. in ἆρ' οἴεσθε. REISK.

Κατηγόρει, οὐχ οὗτος ὑπῆρχεν] Videtur sic leg. et distinguendum esse: κατήγορος, εἰ οὐχ οὗτος, ὑπῆρχεν. ecquis alius mei futurus fuisset accusator, si non hic fuisset, supposito nempe, me noluisse illum pecunia placare. IDEM.

Καὶ γὰρ νῦν] Videtur hic aliquid deesse. ὁρᾶτε οἷος πρὸς ἐμὲ ἐστί. [Num subaudiri debet, aut potest, e præmissis, κατηγορεῖ μου, ὅτι δίδωμι αὐτῷ ἀργύριον. *In Cur. Poster. ad Andoc.*] IDEM.

Ἄλλος] Pone ἄλλος videtur Κριτίας deesse. IDEM.

Καὶ γὰρ νῦν, ἀνέκρινε δ' ἄν με τίς ἄλλος, ἢ Χαρικλῆς; ἐρωτῶν, cæt.] Verba καὶ γὰρ νῦν si jungantur cum sequentibus, credamus Andocidem a XXX Tyrannis correptum et ita interrogatum fuisse, ut mox dicit, cum tamen abfuerit Athenis et Elide habitaverit, quo tempore illi Athenis dominabantur, uti capite IV. monuimus. Itaque vel verba quædam exciderunt, quemadmodum Reiskius voluit, vel καὶ γὰρ νῦν per brachylogiam dicitur: *nunc enim libera civitate falso me accusat*: sed verba illa τίς ἄλλος explicari mihi velim; quæ vel mendose librarius scripsit pro nomine quodam unius e Tyrannis, vel cum nomen

ἀνέκρινε δ' ἄν με τίς ἄλλος ἢ Χαρικλῆς, ἐρωτῶν· Εἰπέ μοι,
ὦ Ἀνδοκίδη, ἦλθες εἰς Δεκέλειαν, καὶ ἐπετείχισας τῇ
πατρίδι τῇ σεαυτοῦ; Οὐκ ἔγωγε. Τί δέ; ἔτεμες τὴν
χώραν, καὶ ἐλῄσω ἢ κατὰ γῆν ἢ κατὰ [1]θάλατταν τοὺς
51 πολίτας τοὺς σεαυτοῦ; Οὐ δῆτα. Οὐδ' ἐναυμάχησας
ἐναντία τῇ πόλει, οὐδὲ συγκατέσκαψας τὰ τείχη, οὐδὲ
συγκατέλυσας τὸν δῆμον, οὐδὲ βίᾳ κατῆλθες εἰς τὴν πόλιν;
Οὐδὲν τούτων [2]πεποίηκα. Οὐδέν; δοκεῖς οὖν χαιρήσειν ἢ
οὐκ ἀποθανεῖσθαι, ὡς ἕτεροι πολλοί; Ἆρ' οἴεσθε, ὦ ἄνδρες,
ἄλλων τινῶν [3]τυχεῖν με δι' ἡμᾶς, εἰ ἐλήφθην ὑπ' αὐτῶν;
οὐκοῦν δεινὸν, εἰ ὑπὸ μὲν τούτων διὰ τοῦτ' ἂν ἀπωλόμην,
ὅτι εἰς τὴν πόλιν οὐδὲν ἥμαρτον, ὥσπερ καὶ ἑτέρους ἀπέκτει-
ναν· ἐν ὑμῖν δὲ κρινόμενος, οὓς οὐδὲν κακὸν πεποίηκα, οὐ σω-
θήσομαι; πάντως δήπου· ἢ σχολῇ γέ τις ἄλλος ἀνθρώπων.
ἀλλὰ γὰρ, ὦ ἄνδρες, τὴν μὲν ἔνδειξιν ἐποιήσαντό μου κατὰ 14. 1
νόμον κείμενον, τὴν δὲ κατηγορίαν κατὰ τὸ ψήφισμα [4]τὸ
πρότερον γεγενημένον περὶ ἑτέρων. εἰ οὖν ἐμοῦ καταψηφιεῖ-

[1] θάλασσαν [2] πεποίηκας; Οὐδέν. [3] τυχεῖν δι' ὑμᾶς [4] τὸ] καὶ

legere non posset, lacunæ signum asteriscum posuit, et in margine notavit, nomen alius cujusdam ex Tyrannis ibi excidisse, τίς ἄλλος. Fortasse Pison excidit, vel Theognis, qui inter sævissimos Tyrannorum recensentur a Lysia in Eratosthenem p. 120. seqq., ab Harpocratione, v. Θέογνις et v. Πείσων, ex d. l. Lysiæ; et in eorum numerum referuntur a Xenophonte Hellen. l. II. c. 3. §. 2. Satyrus etiam, τῶν ἕνδεκα illo tempore truculentissimus, non absurde hic foret memoratus. Critiæ aut Theramenis nomen etiam imperitissimus librariorum vel ex obscurissimo literarum ductu potuisset eruere. SLUITER.

Οὐδὲν τούτων πεποίηκας; οὐδεν] Apud Aldum hæc verba una serie leguntur, et signum interrogandi post secundum οὐδὲν ponitur. In margine Vir Doct. notaverat οὐδὲ τούτων πεποίηκας οὐδέν; vulgatam tamen lectionem meliorem existimo. IDEM.

Δι' ἡμᾶς] Dedi δι' ὑμᾶς. putatisne me pro illo meo erga vos studio, aliud quidquam, quam mortis pœnam, fuisse consecuturum? REISK.

Πάντως δήπου] Scil. σωθήσομαι ἐν ὑμῖν. IDEM.

Ἢ σχολῇ γε τις ἄλλος ἀνθρώπων] Scil. σωθήσεται ἐν ὑμιν, εἰ μὴ ἐγὼ σωθήσομαι. IDEM.

Κατὰ τὸ ψήφισμα καὶ πρότερον γεγενημένον] Videtur leg. κατὰ τὸ ψήφισμα τὸ καὶ πρότερον ἄκυρον γεγενημένον. *quod etiam jam dudum ante in aliis factum fuit irritum.* IDEM.

Κατὰ τὸ ψήφισμα καὶ πρότερον γεγενημένον περὶ ἑτέρων] Psephisma quod dicit est illud, quod jam ante memoravimus, cujus scribendi auctor fuerat Isotimides. Mentionem ejus injecit p. 2. v. 10. ed. Steph. præcipue p. 10. v. 5. seqq. Qui locus huic, quem tractamus, fere par est: Κηφίσιος γὰρ οὑτοσὶ ἐνέδειξε μὲν μὲ κατὰ τὸν νόμον τὸν κείμενον· τὴν δὲ κατηγορίαν ποιεῖται κατὰ ψήφισμα πρότερον γενόμενον, ὃ εἶπεν Ἰσοτιμίδης, οὗ ἐμοὶ προσῆκον οὐδέν. Quo loco Reiskius ψήφισμα πρότερον γενόμενον recte explicat: "quod Psephisma olim aliquando erat ratum, in usu nunc nullum est. Ante Euclidem Archontem valebat, nunc desiit. Non enim fuit eo Archonte cum aliis legibus restauratum." Cur ad se non pertineat, hanc reddit rationem: ὁ μὲν γὰρ εἶπεν εἴργεσθαι τῶν ἱερῶν τοὺς ἀσεβήσαντας καὶ ὁμολογήσαντας, ἐμοὶ δὲ τούτων οὐδέτερα πεποίηται, οὐδὲ ἠσέβηται, οὐδὲ ὡμολόγηται. Ex illo igitur loco hunc, qui in manibus est, ita facile corrigas: — τὴν δὲ κατηγορίαν κατὰ ψήφισμα καὶ πρότερον γεγενημένον καὶ περὶ ἑτέρων. *Detulerunt me secundum Legem ratam atque validam, accusarunt vero secundum Decretum, quod et pridem*

σθε, ὁρᾶτε μὴ οὐκ ἐμοὶ μάλιστα τῶν πολιτῶν προσήκει λόγον δοῦναι τῶν γεγενημένων, ἀλλὰ πολλοῖς ἑτέροις μᾶλλον, τοῦτο μὲν οἷς ὑμεῖς ἐναντία μαχεσάμενοι διηλλάγητε καὶ ὅρκους ὠμόσατε, τοῦτο δὲ οὓς φεύγοντας κατηγάγετε, 52
τοῦτο δὲ οὓς ἀτίμους ὄντας ἐπιτίμους ἐποιήσατε· ὧν [1] εἵνεκα καὶ στήλας ἀνείλετε καὶ νόμους ἀκύρους ἐποιήσατε καὶ [2] [τὰ] ψηφίσματα ἐξηλείψατε· οἳ νυνὶ μένουσιν ἐν τῇ πόλει πιστεύοντες ὑμῖν, ὦ ἄνδρες. εἰ οὖν γνώσονται ὑμᾶς ἀποδεχομένους τὰς κατηγορίας τῶν πρότερον γεγενημένων, τίνα αὐτοὺς οἴεσθε γνώμην ἕξειν περὶ σφῶν αὐτῶν; ἢ τίνα αὐτῶν ἐθελήσειν εἰς ἀγῶνας καθίστασθαι ἕνεκα τῶν πρότερον γεγενημένων; φανήσονται γὰρ πολλοὶ μὲν ἐχθροί, πολλοὶ δὲ συκοφάνται, οἳ καταστήσουσιν αὐτῶν ἕκαστον εἰς ἀγῶνα. ἥκουσι δὲ νυνὶ ἀκροασόμενοι ἀμφότεροι, οὐ τὴν αὐτὴν γνώμην ἔχοντες ἀλλήλοις· ἀλλ' οἱ μὲν εἰσόμενοι, [3] εἰ χρὴ πιστεύειν τοῖς νόμοις τοῖς κειμένοις καὶ τοῖς ὅρκοις οὓς ὠμόσατε ἀλλήλοις, οἱ δὲ ἀποπειρώμενοι τῆς ὑμετέρας γνώμης, εἰ [4] αὐτοῖς ἐξέσται ἀδεῶς συκοφαντεῖν καὶ γράφεσθαι, τοὺς δὲ ἐνδεικνύναι, τοὺς δὲ ἀπάγειν. οὕτως οὖν ἔχει, ὦ ἄνδρες· ὁ μὲν ἀγὼν ἐν τῷ σώματι τῷ ἐμῷ καθέστηκεν, ἡ δὲ ψῆφος ἡ ὑμετέρα δημοσίᾳ κρίνει πότερον χρὴ τοῖς νόμοις τοῖς ὑμετέροις πιστεύειν ἢ τοὺς συκοφάντας παρασκευάζεσθαι, ἢ φεύγειν αὐτοὺς ἐκ τῆς πόλεως καὶ ἀπιέναι ὡς 53
τάχιστα.

ιη'. Ἵνα δὲ εἰδῆτε, ὦ ἄνδρες, ὅτι τὰ πεποιημένα ὑμῖν εἰς ὁμόνοιαν οὐ κακῶς ἔχει, ἀλλὰ τὰ προσήκοντα καὶ τὰ συμφέροντα ὑμῖν αὐτοῖς ἐποιήσατε, βραχέα βούλομαι καὶ περὶ τούτων εἰπεῖν. οἱ γὰρ πατέρες οἱ ὑμέτεροι, γενομένων τῇ πόλει κακῶν μεγάλων, ὅτε οἱ τύραννοι μὲν εἶχον τὴν πόλιν,

[1] ἕνεκα [2] Absunt unci. [3] εἰ ἢ χρὴ [4] αὐτοὺς

factum est, nec Euclide Archonte renovatum, et de aliis agebat, neque ullo modo ad me spectabat. SLUITER.

Προσήκει] Π. προσήκῃ. H. STEPHAN.

Μαχεσάμενοι] Potest ferri. malim tamen in dativo μαχεσαμένοις. REISK.

Εἰ ἢ χρὴ] Π. εἰ χρή. H. STEPHAN. Cui si accedere nolumus, leg. εἴ τι χρή. REISK.

Αὐτοὺς] Malim αὐτοῖς. IDEM.

Ἀδεῶς συκοφαντεῖν] Π. ἀδεῶς τοὺς μὲν συκοφαντεῖν. H. STEPHAN.

Κρίνει] Π. κρινεῖ. IDEM.

Παρασκευάζεσθαι, ἢ φεύγειν] Π. παρασκευάζεσθαι φεύγειν. IDEM. Bene habet vulgata. tres proponit conditiones. 1. fidere legibus, aut 2. Sycophantas, quadruplatores, sibi conciliare pecuniis, ne molesti nobis sint; aut denique 3. plane fugere patrium solum. REISK.

Οἱ τύραννοι] Pisistratidæ. IDEM.

ὁ δὲ δῆμος ἔφυγε, νικήσαντες μαχόμενοι τοὺς τυράννους ἐπὶ Παλληνίῳ, στρατηγοῦντος Λεωγόρου τοῦ προπάππου τοῦ ἐμοῦ καὶ Χαρίου οὗ ἐκεῖνος τὴν θυγατέρα εἶχεν, ἐξ ἧς ὁ ἡμέτερος ἦν πάππος, κατελθόντες εἰς τὴν πατρίδα τοὺς μὲν ἀπέκτειναν, τῶν δὲ φυγὴν κατέγνωσαν, τοὺς δὲ μένειν ἐν τῇ πόλει ἐάσαντες ἠτίμωσαν. ὕστερον δὲ ἡνίκα βασιλεὺς ἐπεστράτευσεν ἐπὶ τὴν Ἑλλάδα, γνόντες τῶν συμφορῶν τῶν ἐπιουσῶν τὸ μέγεθος καὶ τὴν παρασκευὴν τοῦ βασιλέως, ἔγνωσαν τούς τε φυγόντας καταδέξασθαι καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι καὶ κοινὴν τήν τε σωτηρίαν καὶ τοὺς
54 κινδύνους ποιήσασθαι. πράξαντες δὲ ταῦτα, καὶ δόντες ἀλλήλοις πίστεις καὶ ὅρκους μεγάλους, ἠξίουν σφᾶς αὐτοὺς [1] προτάξαντες πρὸ τῶν Ἑλλήνων ἁπάντων ἀπαντῆσαι τοῖς βαρβάροις Μαραθῶνάδε, νομίσαντες τὴν σφετέραν αὐτῶν ἀρετὴν ἱκανὴν εἶναι τῷ πλήθει τῷ ἐκείνων ἀντιτάξασθαι· μαχεσάμενοί τε ἐνίκων, καὶ τήν τε Ἑλλάδα ἠλευθέρωσαν καὶ τὴν πατρίδα ἔσωσαν. ἔργον δὲ τοιοῦτον ἐργασάμενοι οὐκ ἠξίωσάν τινι τῶν πρότερον γενομένων μνησικακῆσαι. τοιγάρτοι διὰ ταῦτα τὴν πόλιν ἀνάστατον παραλαβόντες, ἱερά τε κατακεκαυμένα, τείχη τε καὶ οἰκίας καταπεπτωκυίας, ἀφορμήν τε οὐδεμίαν ἔχοντες, διὰ τὸ ἀλλήλοις ὁμονοεῖν τὴν ἀρχὴν τῶν Ἑλλήνων κατειργάσαντο καὶ τὴν πόλιν ὑμῖν τοιαύτην καὶ τοσαύτην παρέδοσαν. ὑμεῖς οὖν καὶ αὐτοὶ ὕστερον, κακῶν οὐκ ἐλαττόνων ἢ ἐκείνοις γεγενημένων, ἀγαθοὶ ἐξ ἀγαθῶν ὄντες ἀπέδοτε τὴν ὑπάρχουσαν ἀρετήν· ἠξιώσατε γὰρ τούς τε φεύγοντας καταδέξασθαι καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι. τί οὖν ὑμῖν ὑπόλοιπόν

[1] προτάξαντας

Νικήσαντες μαχόμενοι τοὺς τυράννους. ἐπὶ Παλληνίῳ, cæt.] De hisce nostram sententiam jam indicavimus cap. I. Valckenaerius in schedis suis hæc notaverat. "In Margine emendatur Χαβρίου, res incerta: ipsa historia latet. Videtur historia tangi Pisistrati apud Meursium in Παλλήνη.—An leg. Παλληνεῖῳ?" SLUITER.

Χαρίου] Π. Χαβρίου. H. STEPHAN. Nil intercedo, dummodo non de illo celebri Chabria, qui Demosthenis pæne fuit æqualis, sed de aliquo vetustiore, Pisistratidis æquali, accipiatur. REISK.

Προτάξαντας] Grammatica ratio προτάξαντες scribi postulat. Ita enim verba sunt ordinanda: Προτάξαντες σφᾶς αὐτοὺς πρὸ τῶν Ἑλλήνων ἁπάντων ἠξίουν ἀπαντῆσαι. SLUITER.

Τὴν πόλιν ἀνάστατον παραλαβόντες. κ. τ. λ.] Verissime ad hæc verba notat Valckenaerius. "Confundere videtur Andocides diversissima, Persica sub Miltiade et Dario et victoriam Marathoniam v. 14. quæque evenere sub Themistocle, Xerxis gesta. Hic urbem incendio delevit (v. 20.), non ille. Nihil magis est manifestum, quam diversa ab Oratore confundi." IDEM.

ἐστι τῆς ἐκείνων ἀρετῆς; μὴ μνησικακῆσαι, εἰδότας, ὦ ἄνδρες, ὅτι ἡ πόλις ἐκ πολὺ ἐλάττονος ἀφορμῆς ἐν τῷ ἔμπροσθεν χρόνῳ μεγάλη καὶ εὐδαίμων ἐγένετο· ἃ νῦν αὐτῇ ὑπάρχει, εἰ ἐθέλοιμεν οἱ πολῖται σωφρονεῖν τε καὶ ὁμονοεῖν ἀλλήλοις.

15. 1 ιθ'. Κατηγόρησαν δέ μου καὶ περὶ τῆς ἱκετηρίας, ὡς καταθείην ἐγὼ ἐν τῷ Ἐλευσινίῳ· νόμος δὲ ἦν πάτριος, ὃς ἂν θῇ ἱκετηρίαν μυστηρίοις, τεθνάναι. καὶ οὕτως εἰσὶ τολμηροὶ ὥσθ' ἃ αὐτοὶ κατεσκεύασαν, οὐκ ἀρκεῖ αὐτοῖς ὅτι οὐ 55
κατέσχον ἃ ἐπεβούλευσαν, ἀλλὰ καὶ κατηγορίαν ἐμοῦ ποιοῦνται ὡς ἀδικοῦντος. ἐπειδὴ γὰρ ἤλθομεν Ἐλευσινόθεν καὶ ἡ ἔνδειξις ἐγεγένητο, προσῄει ὁ βασιλεὺς περὶ τῶν [1] γεγενημένων Ἐλευσῖνι κατὰ τὴν τελετὴν, ὥσπερ ἔθος ἐστὶν, οἱ δὲ πρυτάνεις προσάξειν ἔφασαν αὐτὸν πρὸς τὴν βουλὴν, ἀπαγγεῖλαί τ' ἐκέλευον ἐμοί τε καὶ Κηφισίῳ παρεῖναι εἰς τὸ Ἐλευσίνιον· ἡ γὰρ βουλὴ ἐκεῖ καθεδεῖσθαι ἔμελλε κατὰ τὸν Σόλωνος νόμον, ὃς κελεύει τῇ ὑστεραίᾳ τῶν μυστηρίων ἕδραν ποιεῖν ἐν τῷ Ἐλευσινίῳ. καὶ παρῆμεν κατὰ τὰ προειρημένα. καὶ ἡ βουλὴ ἐπειδὴ ἦν πλήρης, ἀναστὰς Καλλίας ὁ Ἱππονίκου, τὴν σκευὴν ἔχων, λέγει ὅτι 56

[1] γεγενημένων ἐν Ἐλευσῖνι

Νόμος δὲ ἦν πάτριος] Videtur id ideo fuisse institutum, ut nemo auderet eo tempore quicquam petere, quo non liceret petita negare, quo ne esset, qui illa petendi licentia et petita impetrandi certitudine abuteretur ad ea petendum, quæ aut plane non possent concedi, aut maximo cum damno Reip. concederentur. Ideo autem nefas habebatur, per dies sacrorum Cereris et Proserpinæ petita denegare, quia pudori atque dedecori duceretur deabus esse, si negarent iis diebus petita, qui cohonestandæ ipsarum majestati essent consecrati, et quibus eas proinde mites atque munificas erga omnes conveniret esse. Reisk.

Ἱκετηρίαν] Petitus in LL. Att. l. i. tit. i. §. 18. vertit *libellum supplicem*, quocum facit Meursius Eleusin. c. 31.: e contra A. M. Salvin, C. A. Duker, et P. Wesseling *oleæ ramum vittis circumdatum*, quem supplices præferebant, intelligunt; atque ita quoque ipsemet Petitus in LL. Att. l. iv. tit. ix. §. 22. vocem exponit.

Ἃ αὐτοὶ κατεσκεύασαν] Miror tantam librariorum incuriam in Codicibus Andocidis describendis, qui verbis sæpe male disjunctis, aut alieno loco collocatis, sententiam misere vellicarint. Quod et hic iis accidisse credo, cum verba, ἃ αὐτοὶ κατεσκεύασαν, male a suo loco, qui videtur esse post ἀδικοῦντος, v. 11. sint divulsa, in alienum prorsus intrusa. Quisque, credo, mecum leget: ὥστ' οὐκ ἀρκεῖ αὐτοῖς, ὅτι οὐ κατέσχον ἃ ἐπεβούλευσαν, ἀλλὰ καὶ κατηγορίαν ἐμοῦ ποιοῦνται, ὡς ἀδικοῦντος, ἃ αὐτοὶ κατεσκεύασαν: *tam audaces sunt, ut non satis sit illis, male cessisse eorum insidias, sed ut me etiam accusent, quasi ego illud commisissem, quod illi meo malo præparaverant.* Sluiter.

Προσῄει] Scil. πρὸς τοὺς πρυτάνεις, ἀναφέρων πρὸς αὐτοὺς περὶ —. Reisk.

Τὴν σκευὴν] Quænam fuit hæc σκευὴ, et habitus, quem habuit Callias Hipponici? Procul dubio vestis sacra τοῦ δᾳδούχου, id est, ejus qui facem præferebat mysteriis Cereris. fuit enim id sacerdotium in Calliæ familia πατροπαράδοτον. Jam a primo illo Callia, qui Laccoplutus ob divitias dicebatur, et δᾳδοῦχος etiam ex officio vocabatur, ut videre est apud Plutarch. in

ἱκετηρία κεῖται ἐπὶ τοῦ βωμοῦ, καὶ ἔδειξεν αὐτοῖς. [1] κᾆθ᾽ ὁ κήρυξ ἐκήρυττε τίς τὴν ἱκετηρίαν καταθείη, καὶ οὐδεὶς

[1] Desunt κᾆθ᾽ ὁ κήρυξ ἐκήρυττε.

Aristide et apud Scholiasten Aristophanis ad Nubes, cujus verba hic apponam, quia ad rem maxime faciunt: Καλλίας δὲ ὁ δᾳδοῦχος, προσελθὼν ἐν τῇ ἱερᾷ στολῇ κατὰ Περσῶν ἐν Μαραθῶνι, καὶ ἀριστεύσας κατὰ βαρβάρων, καὶ τρίτον Ὀλύμπια νικήσας ἅρματι τὸν υἱὸν Ἱππόνικον ὠνόμασε. quam vestem scholiastes appellat ἱερὰν στολὴν, Andocides hoc loco alio nomine σκευὴν vocavit. Palmer.

Καὶ ἔδειξεν αὐτοῖς τίς τὴν ἱκετηρίαν] Duplex hic est via emendandi. aut 1. καὶ ἔδειξεν αὐτοῖς (scil. κειμένην ἐπὶ τοῦ βωμοῦ τὴν ἱκετηρίαν) καὶ ἠρώτα τίς τὴν ἱκετηρίαν καταθείη, monstrabatque iis (senatoribus puta) jacentem in ara ramum supplicatorium, et interrogabat, quis eum deposuisset. aut 2. καὶ ἔδοξεν αὐτοῖς ἐπερωτᾷν τίς τὴν ἱκ. καταθείη. et visum ipsis fuit interrogare, quis ramum deposuisset. Reisk.

Καὶ ἔδειξεν — μαρτύρησον, Εὔκλεις] Si hæc verba non melius intellexerit Eucles, quam nos intelligimus, ex boni viri officio testimonium dicere non potuit. Priora mihi satis probabiliter a Reiskio emendata visa sunt: in seqq. verba quædam excidisse putavi, ita fortasse restituenda, ἐπεξελθὼν Εὐκλῆς οὑτοσὶ πάλιν ταὐτὸν ἠρώτα, quæ omiserit librarius, deceptus sequentibus — κάλει αὐτὸν πρῶτα. Luzacio ita locus videtur constituendus: Καὶ ἔδοξεν ἀνακρίνειν, τίς τὴν ἱκετηρίαν καταθείη· καὶ οὐδεὶς ὑπήκουεν. ἡμεῖς δὲ παρέστημεν, καὶ οὗτος ἡμᾶς ἠρώτα· ἐπειδὴ δὲ οὐδεὶς ὑπήκουεν, καὶ ᾤχετο εἰσιὼν, ὑπεξῆλθεν Εὐκλῆς οὑτοσί· καὶ μοὶ κάλει αὐτόν. *Et postquam dixisset Callias, visum est senatui, quæstionem habere, quis ramum deposuisset. Nemo autem ad hanc quæstionem respondit. Nos vero citati aderamus. Itaque et nos Callias interrogavit. Cum autem nemo responsione sua factum agnovisset, ipse vero Callias in senatum rediisset, exiit inde Eucles.* Quam emendationem veri habere speciem, nemo, opinor, diffitebitur. Cæterum illa ἱκετηρία erat ramus oleæ lana obvolutus, sive, ut Æschyli verbis utar, Eumenid. v. 43.

——Ἐλαίας ὑψιγέννητος κλάδος
Λήνει μεγίστῳ σωφρόνως ἐστεμμένος
Ἀργῆτι μαλλῷ. —

idemque Supplic. v. 345. has ἱκετηρίας vocat λευκοστεφεῖς νεοθρέπτους κλάδους· et similiter hoc vocabulum exponitur ab Harpocratione et Suida in v. Scholiasta Sophoclis ad Œd. Tyr. v. 3. Euripidis ad Orestem v. 383. Supplices his ramis usos fuisse, res est satis nota: iisque genua, manus, mentumque tangebant ejus, quem orabant. Vid. Euripidem Iphig. Aul. v. 1216. Heracl. v. 227. et Scholiasten ad Androm. v. 895. Item in aris ramos deponi solitos, liquet ex Æschyli Suppl. et Sophoclis ll. citt. Euripidis Suppl. v. 124. eosque, re non impetrata abeuntes, in aris relinquebant. Vid. ibid. v. 258. — Apud Dionysium Halicarn. l. I. p. 16. v. 9. Pelasgi, in pacis ac deditionis signum, Aboriginum exercitui obviam eunt inermes, ἱκετηρίας προτείνοντες. Quin et legati, suppliciter petendæ rei gratia ad populum regemve quempiam, sive ad victorem, venientes, hujusmodi ramis erant instructi; veluti Thebanorum ad Arcades legati apud Dinarchum in Demosth. p. 92. v. 28. Jugurthæ ad Metellum apud Sallustium B. Jug. cap. 46. Æneas apud Virgilium Æn. l. VII. v. 154. Oratores centum ad Latinum mittit *ramis velatos Palladis omnes*, ad q. l. vid. Heynius. Conf. l. XI. v. 101. Poetis illi olivæ rami sæpius στέμματα, στέφη, κλάδοι ἱκετήριοι, et similiter audiunt. Jamque apud Homerum Il. A. v. 14. Chryses in castra Græcorum venit:

Στέμματ᾽ ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος.

Sallustio l. c. *supplicia* dicuntur, ubi conf. Cortii nota. Verum non tantum his in causis usus ille valuit, sed etiam Athenis, qui senatui aut populo supplicarentur, sive orarent aliquid, sive deprecarentur, ἱκετηρίας manibus tenebant, aut in ara deponebant. Æschines in Timarch. p. 14. v. 41. ed. Steph. Τοῦ πρεσβύτου ἱκετερίαν θέντος εἰς τὴν βουλὴν ὑπὲρ τοῦ μισθοῦ· de Falsa Legat. p. 30. v. 11. ὑπὲρ δὲ τούτων ἱκετηρίας θέντες ἐν τῷ δήμῳ, ἐδέοντο ὑμῶν. — Demosthenes pro Cor. p. 262. 12. ed. R. οὐκ ἱκετηρίαν ἔθηκε τριήραρχος οὐδεὶς πώποθ᾽ ὡς ἀδικούμενος παρ᾽ ὑμῖν· in Timocrat. p. 703. 23. ὡς ἔθεσαν τὴν ἱκετηρίαν, ὧν ἦν τὰ χρήματα, ἄνθρωποι· in Macart. p. 1078. 25. νομίζετε δὴ παῖδα τοῦτον, ὦ ἄνδρες δικασταὶ, ἱκετηρίαν ὑμῖν προκεῖσθαι παρὰ τῶν τετελευτηκότων (ita recte ed. Reisk.) et lepide suo more Aristophanes in Pluto v. 382.

Ὁρῶ τιν᾽, ἐπὶ τοῦ βήματος καθεδούμενον,
Ἱκετηρίαν ἔχοντα, μετὰ τῶν παιδίων
Καὶ τῆς γυναικός.—

et hoc ipso Andocides loco Calliam ad Se-

ὑπήκουεν. ἡμεῖς δὲ παρέστημεν, καὶ οὗτος ἡμᾶς ἑώρα. ἐπειδὴ δὲ οὐδεὶς ὑπήκουεν καὶ ᾤχετο εἰσιὼν, ἐπεξελθὼν Εὐκλῆς οὑτοσὶ — καί μοι κάλει αὐτόν. πρῶτα μὲν οὖν ταῦτα εἰ ἀληθῆ λέγω, μαρτύρησον, Εὔκλεις.

ΜΑΡΤΥΡΙΑ.

ὡς μὲν ἀληθῆ λέγω, μεμαρτύρηται· πολὺ δέ μοι δοκεῖ τὸ ἐναντίον εἶναι, ἢ οἱ κατήγοροι εἶπον. ἔλεξαν γὰρ, εἰ μέμνη- 57
σθε, ὅτι [1] αὐτώ με τὼ θεὼ περιαγάγοιεν ὥστε θεῖναι τὴν ἱκετηρίαν μὴ εἰδότα τὸν νόμον, ἵνα [2] δῷ δίκην. ἐγὼ δὲ, ὦ ἄνδρες, εἰ ὡς μάλιστα ἀληθῆ λέγουσιν οἱ κατήγοροι, ὑπ᾽ αὐτοῖν μὲν φημὶ τοῖν θεοῖν σεσῶσθαι. εἰ γὰρ ἔθηκα μὲν τὴν ἱκετηρίαν, ὑπήκουσα δὲ μὴ, ἄλλο τι ἢ αὐτὸς μὲν αὑτὸν ἀπώλλυον τιθεὶς τὴν ἱκετηρίαν, ἐσωζόμην δὲ τῇ τύχῃ διὰ τὸ μὴ ὑπακοῦσαι, δῆλον ὅτι διὰ τὼ θεώ; εἰ γὰρ [3] ἐβουλέσθην με ἀπολλύναι τὼ θεὼ, ἐχρῆν δήπου καὶ μὴ θέντα με τὴν ἱκετηρίαν ὁμολογῆσαι. ἀλλ᾽ οὔτε ὑπήκουσα οὔτ᾽ ἔθηκα. ἐπειδὴ δ᾽ ἔλεγε τῇ βουλῇ Εὐκλῆς ὅτι οὐδεὶς [4] ὑπακούοι, πάλιν ὁ Καλλίας στὰς ἔλεγεν ὅτι εἴη νόμος πάτριος, εἴ τις ἱκετηρίαν θείη ἐν τῷ Ἐλευσινίῳ, ἄκριτον ἀποθανεῖν· καὶ ὁ πατήρ ποτ᾽ αὐτοῦ Ἱππόνικος ἐξηγήσατο ταῦτα Ἀθηναίοις· ἀκούσειε δὲ ὅτι ἐγὼ θείην τὴν ἱκετηρίαν. ἐντεῦθεν ἀναπηδᾷ Κέφαλος οὑτοσὶ καὶ λέγει· Ὦ Καλλία, πάντων ἀνθρώπων ἀνοσιώτατε, πρῶτον μὲν ἐξηγῇ κηρύ-

[1] αὐτὼ μὲν [2] δῷ [3] ἐβουληθήτην με ἀπολεῖν καὶ τὼ [4] ὑπακούει

natum retulisse, ὅτι ἱκετηρία κεῖται ἐπὶ τοῦ βωμοῦ, in templo Cereris Eleusiniæ, ubi tunc senatus habebatur. Conf. Cœlius Rhodiginus Ant. Lect. l. xiii. c. 19. col. 650. D. SLUITER.

Ἡμεῖς] Ego, Andocides, cum advocatis meis, nec non Cephisius, adversarius meus, cum advocatis suis. tum quoque legendum videtur ἡμεῖς δ᾽ ἔξω [id est, extra curiam] παρέστημεν. REISK.

Οὗτος] Uter, Callias, an Cephisius? arbitror, hic potius. IDEM.

Ὤχετο] Callias puta, a nobis discessit, extra curiam stantibus, et intro ad senatores in curia considentes rediit. hoc vult verbum εἰσιών. IDEM.

Ἐπεξελθὼν] Post Calliam cum e curia ad nos exisset Eucles. qui nescio præco an quicunque tandem fuit. IDEM.

Εὐκλῆς] Apodosis hujus nominis est versu 17. ἐπειδὴ δ᾽ ἔλεγε τῇ βουλῇ Εὐκλῆς. Sed videtur potius aliquod verbum h. l. deesse. IDEM.

Αὐτὼ μὲν] Imo vero αὐτώ με. IDEM.

Ὅτι αὐτὼ μὲν τὼ θεὼ περιαγάγοιεν] Probabilis est Valckenaerii conjectura: ὅτι αὐτώ με τὼ θεὼ ἐπαγάγοιεν. *ipsas me deas induxisse, ut ramum deponerem, quo facto pœnas darem.* SLUITER.

Δῷ] Tolle Iota subscriptum, ut sit prima persona. REISK.

Ὑπ᾽ αὐτοῖν μέν φημι τοῖν θεοῖν] Malim ὑπ᾽ αὐταῖν μέ φημι ταῖν θεαῖν (an θεοῖν, nam hoc quidem perinde est). IDEM.

Κέφαλος] Advocatus Andocidis, ut ex orationis fine constat. IDEM.

Κηρύκων] Schedæ Scaligeri κηρυκτων. quod nescio quid sibi velit. F. κηρύκων

58 κων ὢν οὐχ ὅσιόν σοι ἐξηγεῖσθαι. ἔπειτα [1] δὲ νόμον πάτριον λέγεις· ἡ δὲ στήλη, παρ' ᾗ ἕστηκας, χιλίας δραχμὰς κελεύει ὀφείλειν, ἐάν τις ἱκετηρίαν θῇ ἐν τῷ Ἐλευσινίῳ. ἔπειτα δὲ τίνος ἤκουσας ὅτι [2] Ἀνδοκίδης θείη τὴν ἱκετηρίαν; κάλεσον αὐτὸν τῇ βουλῇ, ἵνα καὶ ἡμεῖς ἀκούσωμεν. ἐπειδὴ δὲ ἀνεγνώσθη ἡ στήλη, κἀκεῖνος οὐκ εἶχεν εἰπεῖν ὅτου ἤκουσε, καταφανὴς ἦν τῇ βουλῇ αὐτὸς [3] θεὶς τὴν ἱκετηρίαν.

κ΄. Φέρε δὴ τοίνυν, ὦ ἄνδρες, — τάχα γὰρ ἂν αὐτὸ βούλεσθε πυθέσθαι, — ὁ δὲ Καλλίας τί βουλόμενος [4] ἐτίθει τὴν ἱκετηρίαν; ἐγὼ δὲ ὑμῖν διηγήσομαι ὧν ὑπ' αὐτοῦ εἵνεκα

[1] δὴ [2] Ἀνδοκίδας [3] τιθεὶς [4] ἐτίθη

ὤν, οἷς οὐκ ὅσιον. cum sis ex ordine Cerycum, cui ordini, utpote inferiori, fas non est de jure sacrorum respondere, quod fas est facere ordini sacerdotum superiori, scil. pontificibus de gente Eumolpidarum. Idem.

Κηρύκων] Non dubito quin vere emendaverit Scaliger *κήρυξ ὤν, cum sis præco sacer.* Alterum ὢν videtur delendum. Ἐξηγῇ κήρυξ ὤν, οὐχ ὅσιόν σοι ἐξηγεῖσθαι. Intelligitur participium ὄν: eademque est hujus dictionis potestas, ac si scripsisset οὐχ ὁσίου σοι ὄντος ἐξηγεῖσθαι. Græcos accusativis hoc modo uti, alio loco dictum est. Ipse Andocides p. 11. v. 16. ed. Steph. δόξαντα δὲ ὑμῖν ταῦτα, εἵλεσθε ἄνδρας εἴκοσι. Lysias c. Alcib. p. 141. v. 8. οὐκ ἀξιοῦντες τοῦ Ἀλκιβιάδου υἱέος τοσαύτην δειλίαν καταγνῶναι· ὡς ἐκεῖνον πολλῶν ἀγαθῶν — αἴτιον γεγενημένον. Isocrates Panegyr. p. 43. A. ὥσπερ ὁμοίως ἀμφοτέρους δέον ἔχειν — ἢ σφᾶς μὲν διορῶντας τὰς μετριότητας· τὸν δὲ ἀκριβῶς ἐπιστάμενον λέγειν, ἁπλῶς οὐκ ἂν μὴ δυνάμενον εἰπεῖν. Areopagit. p. 148. A. ἐμφράγματα γὰρ αὐτοὺς ποιουμένους τῶν ἁμαρτημάτων, πολλοὺς γίγνεσθαι τοὺς νόμους ἀναγκάζεσθαι. De Pace p. 160. C. ὡς δόξῃ μὲν χρωμένους, ὅ,τι ἂν τύχῃ δὲ γενησόμενον, οὕτω διανοεῖσθαι. De Bigis p. 351. B. ὥσπερ οὐ πάντας εἰδότας, ὅτι καὶ τοῖς φαυλοτάτοις ἔξεστιν —. Aristophanes Acharn. v. 1181.

Πτίλον δὲ τὸ μέγα κομπολακύθου πεσὸν
Πρὸς ταῖς πέτραισι, δεινὸν ἐξηύδα μέλος.

Nominativi absoluti pro genitivo exemplum est apud Aristophanem ibid. v. 1163. seqq. Euripidem Phœniss. v. 290. ubi vid. Valckenaer. Dicit igitur Cephalus, non licere Calliæ, quippe Præconi, *de Jure Sacro respondere.* Hæc enim hujus verbi vis est; apud Pseudo-Lysiam in Andoc. p. 104. v. 8. mentio est νόμων ἀγράφων, καθ' οὓς Εὐμολπίδαι ἐξηγοῦνται. Et modo p. 271. 20. Callias dixisse narratur, ὅτι ὁ πατὴρ αὐτοῦ Ἱππόνικος ἐξηγήσατο ταῦτα Ἀθηναίοις. Plutarchus in Theseo p. 11. C. refert Theseum constituisse Eupatridas ἱερῶν τε καὶ ὁσίων ἐξηγητάς. An etiam *de Jure Civili respondere* dicatur ἐξηγεῖσθαι, valde dubito: ex nullo certe mihi constat loco. Nam et apud Demosthenem in Evergum p. 1160. 4. seqq. ed. R. qui memorantur ἐξηγηταί, illi ἐξηγήσαντο de muliere defuncta, adeoque de re, quæ pertinebat ad Jura Manium, quæ Juris Sacri partem faciebant. Fortasse hoc ἐξηγεῖσθαι Eumolpidarum, Eteobutadarum, aliusve familiæ fuit, quæ sacerdotia obiret, Præconibus sacris, ut ex h. l. patet, non licuit. Sluiter.

Ἔπειτα δὴ νόμον] Π. ἔπειτα δὲ νόμον. H. Stephan. Sed δὴ mihi videtur reliquum esse e vera lectione ψευδῆ. Si componas τα et δη in unum, facile efficias ψευδῆ. nam ψ in codicibus manuscriptis ita exaratur, ut simillimum sit literæ τ. et α atque ευ etiam ægre distingui possunt. Lego itaque: ἔπειτα ψευδῆ νόμον πάτριον λέγεις. Reisk.

Ἀνδοκίδας] Π. Ἀνδοκίδης. H. Stephan.

Αὐτὸν] Id est, ἐκεῖνον τὸν δεῖνα, ὑφ' οὗ σὺ φὴς τοῦτο ἀκηκοέναι. Reisk.

Καὶ ἡμεῖς] Erat ergo Cephalus tum Senator. Idem.

Τιθεὶς] Malim θεὶς in aor. 2. Idem.

Βούλεσθε] Π. βούλησθε. H. Stephan. Non video qua de causa. Ob ἂν præmissum? Etiam cum indicativis id construitur. Idem.

ἐπεβουλεύθην. Ἐπίλυκος ἦν ὁ Τισάνδρου θεῖός μοι, ἀδελ-
φὸς τῆς μητρὸς τῆς ἐμῆς· ἀπέθανε δὲ ἐν Σικελίᾳ ἄπαις
ἀῤῥένων παίδων, θυγατέρας δὲ δύο καταλιπὼν, αἳ ἐγίνοντο
εἴς τε ἐμὲ καὶ Λέαγρον. τὰ δὲ πράγματα τὰ οἴκοι πονήρως
εἶχε· τὴν μὲν γὰρ φανερὰν οὐσίαν οὐδὲ δυοῖν ταλάντοιν κατ- 59
έλιπε, τὰ δὲ ὀφειλόμενα πλέον ἦν ἢ πέντε τάλαντα. ὅμως
δ' ἐγὼ καλέσας Λέαγρον ἐναντίον τῶν φίλων ἔλεγον, ὅτι
ταῦτ' εἴη ἀνδρῶν ἀγαθῶν, ἐν τοῖς τοιούτοις
δεικνύναι τὰς οἰκειότητας ἀλλήλοις. ἡμᾶς γὰρ
οὐ δίκαιόν ἐστιν οὔτε χρήματα ἕτερα οὔτ' εὐ-
τυχίαν ἀνδρὸς ἑλέσθαι, ὥστε καταφρονῆσαι
τῶν Ἐπιλύκου θυγατέρων· καὶ γὰρ εἰ ἔζη Ἐπί-
λυκος ἢ τεθνεὼς πολλὰ κατέλιπε χρήματα,
[1] ἠξιοῦμεν ἂν γένει ὄντες ἐγγυτάτω ἔχειν τὰς
παῖδας. τοιγάρτοι ἐκεῖνα μὲν δι' Ἐπίλυκον ἂν
ἦν ἢ διὰ τὰ χρήματα· νῦν δὲ διὰ τὴν ἡμετέ-
6. 1 ραν ἀρετὴν τάδε ἔσται. τῆς μὲν οὖν σὺ ἐπιδι-
κάζου, τῆς δὲ ἐγώ. ὡμολόγησέ μοι, ὦ ἄνδρες· ἐπεδι-
κασάμεθα ἄμφω κατὰ τὴν πρὸς ἡμᾶς ὁμολογίαν. καὶ ἧς
μὲν ἐγὼ ἐπεδικασάμην, ἡ παῖς τύχῃ χρησαμένη καμοῦσα
ἀπέθανεν· ἡ δ' ἑτέρα ἐστὶν ἔτι. ταύτην Καλλίας ἔπειθε 60
Λέαγρον, χρήματα ὑπισχνούμενος, ἐὰν αὐτὸν λαβεῖν· αἰ-
σθόμενος δ' ἐγὼ εὐθὺς ἔθηκα παράστασιν, καὶ ἔλαχον
προτέρῳ μὲν Λεάγρῳ, ὅτι εἰ μὲν σὺ [2] βούλει ἐπιδικά-
ζεσθαι, ἔχε τύχῃ ἀγαθῇ, εἰ δὲ μὴ, ἐγὼ ἐπιδι-
κάσομαι. γνοὺς ταῦτα Καλλίας λαγχάνει τῷ υἱεῖ τῷ
ἑαυτοῦ τῆς ἐπικλήρου, τῇ δεκάτῃ ἱσταμένου, ἵνα μὴ [3] ἐπι-
δικάσωμαι ἐγώ. ταῖς δ' εἰκάσι, μυστηρίοις τούτοις, δοὺς
Κηφισίῳ χιλίας δραχμὰς, ἐνδείκνυσί με καὶ εἰς τὸν ἀγῶνα
τοῦτον καθίστησιν. ἐπειδὴ δ' ἑώρα με ὑπομένοντα, τίθησι

[1] ἀξιοῦμεν [2] βούλῃ [3] δικάσωμαι

Χρήματα ἕτερα] Id est, ἄλλην γυναῖκα πλουσίαν. Idem.

Εὐτυχίαν ἀνδρὸς] Id est, opes alius alicujus soceri locupletis. Idem.

Ἀξιοῦμεν] Malim ἠξιοῦμεν in imperfecto, aut ἀξιοῖμεν, in optativo. Idem.

Ἐκεῖνα] Si scil. Epilyci filias domum duxissemus, aut patre adhuc in vivis superstite, aut post excessum ejus quidem, verumtamen bene dotatas, visi fuissemus eas duxisse aut ob Epilycum, ejus gratia, aut ob pecunias. Idem.

Τάδε] Quod puellas ducamus indotatas patre in rebus accisis defuncto. Idem.

Ἵνα μὴ δικάσωμαι] F. ἵνα μὴ ἐπιδικάσωμαι. ne efficere possem, ut altera Epilyci filia, illa adhuc in vivis superstes, edicto prætoris mihi adjudicaretur. Idem.

τὴν ἱκετηρίαν, ὡς ἐμὲ μὲν [1] ἀποκτενῶν ἄκριτον ἢ [2] ἐξελῶν, αὐτὸς δὲ [3] πείσας Λέαγρον χρήμασι συνοικήσων τῇ Ἐπιλύκου θυγατρί. ἐπειδὴ [4] δ' οὐδ' ὡς ἄνευ ἀγῶνος ἑώρα ἐσόμενα τὰ πράγματα, τότε δὴ προσιὼν Λυσίστρατον, [5] Ἡγεμόνα, Ἐπιχάρην, ὁρῶν φίλους ὄντας ἐμοὶ [6] καὶ χρωμένους, εἰς
61 τοῦτο βδελυρίας ἦλθε καὶ παρανομίας, ὥστ' ἔλεγε πρὸς τούτους ὡς, εἰ ἔτι καὶ νῦν βουλοίμην ἀποστῆναι τῆς Ἐπιλύκου θυγατρὸς, ἕτοιμος εἴη παύσασθαί με κακῶς ποιῶν, ἀπαλλάξαι δὲ Κηφίσιον, δίκην δ' ἐν τοῖς φίλοις δοῦναί [7] μοι τῶν πεποιημένων. εἶπον αὐτῷ καὶ κατηγορεῖν καὶ παρασκευάζειν ἄλλους· εἰ δ' ἐγὼ αὐτὸν [8] ἀποφεύξομαι καὶ

[1] ἀποκτενὼν [2] ἐξελὼν [3] πείσων [4] δ' οὕτως ἑώρα ἄνευ ἀγῶνος
[5] ἡγεμόνα, ἐπεχάρη [6] Deest καί. [7] μου [8] ἀποφθέγξομαι

Πείσων] Quod dudum ante conjeceram, πείσας, id reperio nunc quoque in schedis Scaligeri. Constructio est: συνοικήσων τῇ Ἐπιλύκου (nisi is potius Epilytus est) θυγατρὶ, πείσας (id est, μετὰ τὸ πεῖσαι) Λέαγρον. Idem.

Αὐτὸς δὲ πείσων Λέαγρον χρήμασι, συνοικήσων τῇ Ἐπιλύκου θυγατρὶ] Non tantum πείσας pro πείσων cum Scaligero et Reiskio emendat Valckenaerius; sed præterea legit ἐξελῶν, quod est futurum verbi ἐξελάω vel ἐξελαύνω. In M. Ald. pro συνοικήσων scriptum inveni συνοικήσειν, quod tamen Virorum Doctorum, quos dixi, emendatione deterius censeo. Sluiter.

Οὕτως] F. Οὗτος. Taylor. Aut οὔ πως leg. videtur, aut οὐχ οὕτως. [F. ἐπειδὴ δ' οὐδ' οὕτως. ne sic quidem. In Cur. poster. ad Andoc.] Reisk. Dedi cum Bekkero οὐδ' ὥς. vid. Xenoph. Cyr. l. iv. c. 2. §. 40. Anab. l. i. c. 8. §. 21. et l. iii. c. 2. §. 23.

Λυσίστρατον ἡγεμόνα, ἐπεχάρη] Leg. Λ., Ἡγήμονα, Ἐπιχάρη. et dele puncti notam post χρωμένους. de Epichare vid. p. 12. 39. ed. Steph. Taylor. Videtur leg. Λυσίστρατον, Ἡγέμονα, Ἐπιχάρη. Sunt enim nomina propria. Reisk.

Τότε δὴ προσιὼν Λυσίστρατον, ἡγεμόνα, ἐπεχάρη, ὁρῶν φίλους ὄντας ἐμοὶ χρωμένους cæt.] Nomina propria hæc esse, non tantum viderat Valckenaerius, sed et exemplis ea confirmarat. Verba ejus hæc sunt: "Siccine unum Lysistratum nominasset Andocides? Quomodo igitur φίλους ὄντας: quid ille Lysistratus ἡγεμών; quid hic ἐπεχάρη? Duo hic latent nomina; corrigo: προσιὼν Λυσίστρατον, Ἡγήμονα, Ἐπιχάρην, ὁρῶν φίλους ὄντας ἐμοί τε χρωμένους. In ἐπεχάρη forte latet aliud nomen: supra pessimus nebulo accusator Andocidis dicitur Ἐπιχάρης. p. 12. f. Vid. Demosthenem p. 927. 21. ed. R., Harpocrationem in v. et ibi Valesium.—An Ἐτεοχάρην?—In Demosthene p. 1342. pen. (alibi idem notat) est Ἐπιχάρης ὁ πάππος ὁ ἐμὸς Ὀλυμπιάσι νικήσας στάδιον.—Nomen proprium Ἡγήμων alibi etiam occurrit. Vid. Harpocrationem in v., Demosthenem p. 320. pen. p. 784. 16. (in argumento p. 768. 91. legitur ἡγέμονα, non ut nomen proprium, de eadem tamen re.) Vid. et Demosthenes p. 253. 12. Lysias p. 509. v. 5. Isæus p. 57. v. 12. ubi est Ἡγεμόνα." Sluiter.

Ὁρῶν φίλους ὄντας ἐμοὶ χρωμένους] Idem est ac si dixisset: ὁρῶν αὐτοὺς ἐμοὶ χρωμένους διὰ τὸ φίλους ἐμοὶ εἶναι. videns eos me familiariter utentes, utpote mihi amicos. Reisk.

Δοῦναί μου] Μου cohæret cum φίλοις. inter amicos meos. h. e. secundum id quod essent amici mei de se pronuntiaturi; quos credibile sit, magis secundum me, quam secundum se, Calliam, judicaturos esse, ut mihi amicos, non illi. Idem.

Τῶν πεποιημένων] Scil. ἑαυτῷ κατ' ἐμοῦ. Idem.

Εἶπον αὐτῷ] Hic deest aliquid, sive οὖν post εἶπον, aut δι' ὧν εἶπον αὐτῷ. Nam post πεποιημένων figendum est punctum, absoluta ibi sententia. Idem.

Παρασκευάζειν] Subaudi κατηγορεῖν. *efficere ut me accusent*, h. e. subornare accusatores mei. Idem.

Ἀποφθέγξομαι] Lege Ἀποφεύξομαι. Idem.

Ἀποφθέγξομαι] Valckenaerium dudum ante Reiskium emendasse ἀποφεύξομαι, apparet, e nota ejus ad Herodotum l. VI. p. 475. v. 61. A. Sluiter.

γνώσονται Ἀθηναῖοι περὶ ἐμοῦ τὰ [1] δίκαια. ἐγὼ αὐτὸν οἴομαι περὶ τοῦ σώματος τοῦ ἑαυτοῦ ἐν τῷ μέρει κινδυνεύσειν. ἅπερ [2] αὐτὸν οὐ ψεύσομαι, ἐὰν ὑμῖν, ὦ ἄνδρες, δοκῇ. ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

κα΄. Ἀλλὰ γὰρ τὸν υἱὸν [3] αὐτοῦ τοῦτον, [4] ᾧ λαχεῖν ἠξίωσε τῆς Ἐπιλύκου θυγατρὸς, σκέψασθε πῶς γέγονεν καὶ πῶς ἐποιήσατ' αὐτόν· ταῦτα γὰρ καὶ ἄξιον ἀκοῦσαι, ὦ ἄνδρες. γαμεῖ μὲν Ἰσχομάχου θυγατέρα· ταύτῃ δὲ συν- 62
οικήσας οὐδ' ἐνιαυτὸν, τὴν μητέρα αὐτῆς ἔλαβε, καὶ συνῴκει ὁ πάντων σχετλιώτατος ἀνθρώπων τῇ μητρὶ καὶ τῇ θυγατρὶ, ἱερεὺς ὢν τῆς μητρὸς καὶ τῆς θυγατρὸς, καὶ εἶχεν ἐν τῇ οἰκίᾳ ἀμφοτέρας. καὶ οὗτος μὲν οὐκ ᾐσχύνθη οὐδ' ἔδεισε τὼ θεώ· ἡ δὲ [5] τοῦ Ἰσχομάχου θυγάτηρ τεθνάναι νομίσασα λυσιτελεῖν ἢ ζῆν ὁρῶσα τὰ γινόμενα, ἀπαγχομένη μεταξὺ κατεκλίθη, καὶ ἐπειδὴ ἀνεβίω, ἀποδράσασα ἐκ τῆς οἰκίας ᾤχετο, καὶ ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα. ταύτης δ' αὖ διαπεπλησμένος ἐξέβαλε καὶ ταύτην. ἡ δ' ἔφη κύειν ἐξ αὐτοῦ. καὶ ἐπειδὴ ἔτεκεν υἱὸν, ἔξαρνος ἦν [6] μὴ εἶναι ἐξ [7] αὐτοῦ τὸ παιδίον. λαβόντες δὲ οἱ προσήκοντες τῇ γυναικὶ τὸ παιδίον, [8] ἦκον ἐπὶ τὸν βωμὸν Ἀπατουρίοις,

[1] δίκαια, καὶ ἐγὼ [2] αὐτῷ [3] αὐτοῦ [4] ὂν
[5] Deest τοῦ. [6] μὲν [7] αὐτοῦ [8] ἦγον

Αὐτῷ οὐ ψεύσομαι] Αὐτῷ Dedit Stephanus pro αὐτῶν, quod est in Aldina. Ego potius αὐτὸν inde effecissem. Græci dicunt ψεύδεσθαί τινά τι, pro εἴς τι, vel κατά τι. Reisk.

Γαμεῖ κ. τ. λ.] Ad hanc narrationem de facinore Calliæ et duabus ejus uxoribus, altera matre, filia altera, simile A. Aurii Melini scelus notat Vir Doct. in M. Ald. (quod narrat Cicero pro Cluentio c. 5.) perperam tamen illud in Oppianicum conferens. Sluiter.

Τῆς μητρὸς καὶ τῆς θυγατρὸς] Aut delenda sunt hæc, aut accipienda de Cerere atque Proserpina. Reisk.

Λυσιτελεῖν] Ad λυσιτελεῖν subaudi μᾶλλον, quod omitti solet. Idem.

Ἀπαγχομένη μεταξὺ κατεκλίθη] Inepte dictum, vel scriptum potius a librario: *dum collo laqueum nectebat, in lecto composita est.* Hoc igitur quum viderem, in eam cogitationem incidi, κατεκλίθη corruptum esse ex κατεκλύσθη. Sed cum sequens ἀνεβίω indicet, eam jam revera laqueum expertam et animi deliquium esse passam, magis probo Valckenaerii conjecturam; ἀπαγχομένη μεταξὺ κατεκυλίσθη, eodem fere modo, uti Iscariotes ἀπαγξάμενος (Matth. xxvii. 5.) πρηνὴς ἐγένετο, narrante Petro Apostolo apud Lucam Act. Apost. i. 18. Sluiter.

Μὲν εἶναι] Imo vero μὴ εἶναι. Reisk. Verissimæ Reiskii emendationi, et Valckenaerii et M. Ald. auctoritas accedit. Sluiter.

Ἦγον] Sic correxit Stephanus Aldinæ οἷον. In Scaligeri schedis est ἴον. videtur utique οιον perperam iteratum esse e διον, fine vocabuli proximi παιδίον. Sed tum deest aliquid, si et οἷον expellas, et ἦγον. num ἐτίθεσαν, *ponebant*, puerum super ara? Reisk.

Ἦγον ἐπὶ τὸν βωμὸν Ἀπατουρίοις cæt.] Vitiose Aldina οἷον, cujus loco Stephanus sub-

ἔχοντες ἱερεῖον, καὶ ἐκέλευον κατάρξασθαι τὸν Καλλίαν. ὁ δ' ἠρώτα, τίνος εἴη τὸ παιδίον· ἔλεγον Καλλίου τοῦ Ἱππονίκου. Ἐγώ εἰμι οὗτος. Καὶ ἔστι γε σὸν τὸ παιδίον. λαβόμενος τοῦ βωμοῦ ὤμοσεν ἦ μὴν μὴ εἶναί [1] οἱ υἱὸν ἄλλον μηδὲ γενέσθαι πώποτε, εἰ μὴ Ἱππόνι-
63 κον ἐκ τῆς Γλαύκωνος θυγατρός· ἢ ἐξώλη εἶναι καὶ αὐτὸν καὶ τὴν οἰκίαν, ὥςπερ ἔσται. μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες, ὑστέρῳ πάλιν χρόνῳ τῆς γραὸς τολμηροτάτης γυναικὸς ἀνηράσθη, καὶ κομίζεται αὐτὴν εἰς τὴν οἰκίαν, καὶ τὸν παῖδα ἤδη μέγαν ὄντα εἰσάγει εἰς Κήρυκας, φάσκων εἶναι υἱὸν αὐτοῦ. ἀντεῖπε μὲν Καλλίδης μὴ εἰσδέξασθαι, ἐψηφίσαντο δὲ οἱ Κήρυκες κατὰ τὸν νόμον ὅς [2] ἐστιν αὐτὸς, τὸν πατέρα ὀμόσαντα εἰσάγειν, ἦ μὴν υἱὸν [3] ὄντα ἑαυτοῦ εἰσάγειν. λαβόμενος τοῦ βωμοῦ ὤμοσεν ἦ μὴν τὸν παῖδα ἑαυτοῦ εἶναι γνήσιον, ἐκ Χρυσιάδος γεγονότα· ὃν ἀπώμοσε. καί μοι τούτων ἁπάντων τοὺς μάρτυρας κάλει.

ΜΑΡΤΥΡΕΣ.

φέρε δὴ τοίνυν, ὦ ἄνδρες, σκεψώμεθα, [4] εἴ πώ ποτε ἐν τοῖς Ἕλλησι πρᾶγμα τοιοῦτον ἐγένετο, ὅπου γυναῖκά τις γήμας ἐπέγημε τῇ θυγατρὶ τὴν μητέρα καὶ ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα· ταύτῃ δὲ συνοικῶν βούλεται τὴν Ἐπιλύκου 17. 1
θυγατέρα λαβεῖν, ἵν' ἐξελάσῃ τὴν τήθην ἡ θυγατριδῆ. ἀλλὰ γὰρ τῷ παιδίῳ αὐτοῦ τί χρὴ τοὔνομα θέσθαι; οἶμαι γὰρ ἔγωγε οὐδένα οὕτως ἀγαθὸν εἶναι λογίζεσθαι, ὅστις ἐξευρήσει τοὔνομα αὐτοῦ. τριῶν γὰρ οὐσῶν γυναικῶν
64 αἷς συνῳκηκὼς ἔσται ὁ πατὴρ αὐτοῦ, τῆς μὲν υἱός ἐστιν, ὥς φησι, τῆς δὲ ἀδελφὸς, τῆς δὲ θεῖος. τίς ἂν εἴη οὗτος; Οἰδίπους, ἢ Αἴγισθος; ἢ τί χρὴ αὐτὸν ὀνομάσαι;

[1] Deest οἱ. [2] ἐστιν, αὐτὸν [3] οὕτως [4] εἴ ποτε

stituit ἦγον. Non deteriorem tamen puto lectionem, quam Vir Doct. in margine notavit, ἧκον. Mox, v. 4. conjecturam Reiskianam legentis μὴ εἶναί οἱ υἱὸν ἄλλον, item M. Ald. confirmat. SLUITER.

Ἀπατουρίοις] Vid. Meurs. Græc. Fer. l. i. p. 35.

Εἶναι υἱὸν] Interpono οἱ, *sibi*. REISK.

Καλλίδης] Imo vero Καλλιάδης. qui videtur princeps Cerycum fuisse. IDEM. Καλλιάδης, et v. 13. ὄντως, prouti Reiskius, emendaverat etiam Valckenaerius. SLUITER.

Ὅς ἐστιν αὐτὸς] *Quæ est illa ipsa*, scil. *lex*, i. e. quæ illud ipsum, quod aio, statuit, πp. patrem &c.

Υἱὸν οὕτως] Imo vero υἱὸν ὄντως. et sic quoque schedæ Scaligeri. REISK.

Χρυσιάδος] Imo vero Χρυσίδος. Chrysis nomen est fœmininum, non Chrysias. IDEM.

Ἐξευρήσει] Sic correxit Stephanus Aldinæ ἐξωρήσει. melius utique, quam Scaliger ἐξορίσει. IDEM.

κβʹ. Ἀλλὰ γὰρ, ὦ ἄνδρες, βραχύ τι ὑμᾶς ἀναμνῆσαι περὶ Καλλίου βούλομαι. εἰ γὰρ μέμνησθε, ὅτε ἡ πόλις ἦρχε τῶν Ἑλλήνων καὶ εὐδαιμόνει μάλιστα, Ἱππόνικος δὲ ἦν πλουσιώτατος τῶν Ἑλλήνων, τότε μέντοι πάντες ἴστε ὅτι παρὰ τοῖς παιδαρίοις τοῖς μικροτάτοις καὶ τοῖς γυναίοις κληδὼν ἐν ἁπάσῃ τῇ πόλει κατέσχεν, ὅτι Ἱππόνικος ἐν τῇ οἰκίᾳ ἀλιτήριον τρέφει, ὃς αὐτοῦ τὴν τράπεζαν ἀνατρέπει. μέμνησθε ταῦτα, ὦ ἄνδρες. πῶς οὖν ἡ φήμη ἡ τότε οὖσα δοκεῖ ὑμῖν ἀποβῆναι; οἰόμενος γὰρ Ἱππόνικος [1] υἱὸν τρέφειν, ἀλιτήριον αὐτῷ ἔτρεφεν, ὃς ἀνατέτροφεν ἐκείνου τὸν πλοῦτον, τὴν σωφροσύνην, τὸν ἄλλον βίον ἅπαντα. οὕτως οὖν χρὴ περὶ τούτου γινώσκειν, ὡς ὄντος Ἱππονίκου ἀλιτηρίου.

κγʹ. Ἀλλὰ γὰρ, ὦ ἄνδρες, διὰ τί ποτε τοῖς ἐμοὶ νυνὶ ἐπιτιθεμένοις μετὰ Καλλίου καὶ συμπαρασκευάσασι τὸν ἀγῶνα καὶ χρήματα εἰσενεγκοῦσιν ἐπ᾽ ἐμοὶ τρία μὲν ἔτη ἐπιδημῶν καὶ ἥκων ἐκ Κύπρου οὐκ ἀσεβεῖν ἐδόκουν αὐτοῖς, μυῶν μὲν Ἀδελφὸν, ἔτι δὲ ἄλλους ξένους ἐμαυτοῦ, καὶ εἰσ- 65

[1] υἱὸν αὐτῷ τρέφειν

Ὃς ἀνατέτροφεν ἐκείνου τὸν πλοῦτον] Tacent hic, quod miror, et Reiskius et Valckenaerius, cum tamen apertissimum sit hujus loci vitium; nam quid, quæso, est ἀνατρέφειν τὸν πλοῦτον, cæt.? Nihil certius est corruptela, remedio nihil facilius: si, una litera mutata, scribamus ἀνατέτροπεν, salvus est locus. Ita modo v. 7. ὃς αὐτοῦ τὴν τράπεζαν ἀνατρέπει. Demosthenes in Aristog. I. p. 778. 28. ed. R. τὰ κοινὰ δίκαια ἀνατρέψειν οἴει: p. 779. 26. τίς δ᾽ ἂν ἄλλος μᾶλλον, ὃ μὴ γένοιτο, πᾶσαν ἀνατρέψειε τὴν πόλιν; Euripides Iphig. Aul. v. 24.

Τότε μὲν τὰ θεῶν οὐκ ὀρθωθέν—
Τ᾽ ἀνέτρεψε βίον.

Eandem emendationem antea se fecisse, indicavit mihi præceptor optimus Luzacius. SLUITER.

Αὐτοῖς] Delendum videtur, ut inutile post præcedentes tres dativos, aut cum αὐτὸς est mutandum. Sed tum distinctio quoque erit mutanda, ad hunc modum: ἐδόκουν, αὐτὸς μυῶν τὸν ἀδελφὸν, ἔτι δὲ καὶ ἄλλους ξένους. Sed illud prius præfero, scil. αὐτοῖς hic sublatum, et cum αὐτοὶ mutatum, in versum 2. p. 278. defero, collocans pone οὗτοι, ut sit, ἐδόκουν, μυῶν μὲν ἀδελφὸν — λειτουργεῖν οὗτοι αὐτοὶ προὐβάλλοντο. REISK.

Ἀδελφὸν] Si frater hic est ipsius Andocidis, necesse est eum interea temporis vivis excessisse, quod tempus intercessit inter custodiam in carcere, cui mandatus fuit Andocides, et inter dictionem hujus causæ; quia p. 283. 13. dicit Andocides, se suæ gentis adhuc solum superesse. Verum videtur potius hic deesse nomen ejus, cujus fratrem Andocides initiavit, quia e p. 246. 13. constat, Andocidi quum ob Hermarum mutilatorum crimen in custodiam daretur, non fuisse nisi unicam sororem in vivis superstitem. Si nempe voc. μόνη non de solis sororibus, sed etiam de fratribus debet accipi. Nam potest alias ille locus etiam hanc ferre interpretationem. fratres tibi quidem adhuc alii supersunt, sorores autem aliæ nullæ, præter hanc. IDEM.

Οὐκ ἀσεβεῖν ἐδόκουν αὐτοῖς, μυῶν μὲν ἀδελφὸν, ἔτι δὲ ἄλλους ξένους ἐμαυτοῦ] Pronomen αὐτοῖς delendum esse, minime Reiskio assentior, qui nec ipse ejusmodi Pleonasmorum usum ignorare potuit: αὐτοῖς sanum est, sequentia non item. Nam quomodo Andocides initiare potuit fratrem? quem sibi non esse dicit p. 19. v. 18. ed. Steph. Quomodo, si fratrem habuerit, mox addere potest se initiasse *præterea* (ἔτι δὲ) ἄλλους ξένους ἑαυτοῦ? quasi frater Andocidis peregrinus, aut hospitali jure illi conjunctus fuerit. Nomen hospitis cujusdam credo excidisse, qui Delphis habita-

ἰὼν εἰς τὸ Ἐλευσίνιον καὶ θύων, ὥσπερ ἐμαυτὸν ἄξιον νομίζω εἶναι· ἀλλὰ τοὐναντίον λειτουργεῖν οὗτοι προὐβάλλοντο, πρῶτον μὲν γυμνασίαρχον Ἡφαιστείοις, ἔπειτα [1] ἀρχιθεωρὸν εἰς Ἰσθμὸν καὶ Ὀλυμπίαζε, εἶτα δὲ ταμίαν ἐν πόλει τῶν ἱερῶν χρημάτων. νῦν δὲ ἀσεβῶ καὶ ἀδικῶ εἰσιὼν εἰς τὰ ἱερά. ἐγὼ ὑμῖν ἐρῶ διότι οὗτοι ταῦτα νῦν γινώσκουσιν. [2] Ἀγύῤῥιος γὰρ οὑτοσὶ, ὁ καλὸς κἀγαθὸς, [3] ἀρχώνης ἐγένετο τῆς πεντηκοστῆς τρίτον ἔτος, καὶ ἐπρίατο τριάκοντα ταλάντων· μετέσχον δ' αὐτοὶ οὗτοι πάντες οἱ παρασυλλεγέντες ὑπὸ τὴν [4] λεύκην, [τὸ πόσ] οὓς ὑμεῖς ἴστε

[1] ἀρχιθέωρον [2] Ἀργύριος [3] ἄρχων εἷς ἐγένετο [4] λευκὴν τὸ, πόσους ὑμεῖς

ret. Μυῶν μὲν τὸν Δελφὸν, vel, quod magis placebat Luzacio, μυῶν μὲν τὸν ἐκ Δελφῶν — "*Sacrorum initia præbens tum hospiti meo Delphis advenæ, tum aliis, quibuscum mihi hospitalia erant jura.*" SLUITER.

Ἄρχων, εἷς ἐγένετο τῆς πεντηκοστῆς] Intelligo πεντηκοστολόγον, id est, *publicanum*, qui scilicet hoc tributum redemerat a publico, et a singulis exigebat. Semper autem male audierunt tales homines, et probrosum existimatum est id officium, nec injuria in sacris scripturis cum ethnicis et infidelibus conjunguntur. PALMER. Ex ἄρχων εἷς efficio unum vocabulum ἀρχώνης, princeps collegii ejus, quod vectigal quinquagesimæ redemit. Pro Argyrio videtur potius Agyrrhius esse leg. conf. Vales. ad Harpocr. p. 23. 91. 209. REISK.

Ἀργύριος γὰρ οὑτοσὶ ὁ καλὸς κἀγαθὸς ἄρχων, εἷς ἐγένετο τῆς πεντηκοστῆς] Elegantissimam et verissimam emendationem ἀρχώνης ἐγένετο τῆς πεντηκοστῆς jam ante Reiskium prodidit Valckenaerius Diatr. Eurip. p. 203. C. In Adversariis hæc notaverat: "Meursius pessimum nebulonem Agyrrhium ex hoc uno loco inter incerti temporis Archontas retulit, pag. 190. Sed quid, obsecro, εἷς τῆς πεντηκοστῆς κ. τ. λ. Corrigo verissime: Ἀγύῤῥιος γὰρ οὑτοσὶ, ὁ καλὸς κἀγαθὸς, ἀρχώνης ἐγένετο τῆς Πεντηκοστῆς. Etymologus p. 151. v. 19. Ἀρχώνης, ὁ Ἄρχων ὠνῆς ἡστινοστοῦν. Vid. Alberti ad Hesych. post Gloss. N. T. p. 302. Forte non alibi legitur. Ἡ πεντηκοστὴ est Quinquagesima mercium in Piræeum invectarum, auctore Harpocratione. Vid. ibi Valesium p. 155. Exactores erant οἱ πεντηκοστολόγοι, *de Opzigters, en Collecteurs* [*the Overseers, and Collectors*]. Ἀρχώνης, *de Pagter zelve, die de pagt heeft* [*the Tenant or Farmer, who rents a Farm*]. vel, quemadmodum Luzacio videtur, *de eerste Pagter, de geen die 't hoofd van de Societeit der Verpagting is* [*the first Tenant or Farmer, who is at the head of the Farming*]. Meursius in Att. Lect. l. V. c. 28. de hoc agit vectigali, ubi et hunc, vitiosum tamen, affert Andocidis locum. Vid. et l. IV. c. 33. p. 245. et l. VI. c. 4. p. 320."— "Cæterum (Luzacii verba refero) celeberrimum est apud Oratores Atticos hoc Quinquagesimæ vectigal, in quo redimendo ac percipiendo spectabantur οἱ πριάμενοι vel οἱ ὠνούμενοι, socii redemtores, quorum caput et princeps, omnium causam suo agens nomine, erat ὁ Ἀρχώνης; tum fidejussores et prædes, οἱ ἐγγυώμενοι, vel οἱ ἐγγυησάμενοι (et hi probabiliter τοῦ Ἀρχώνου socii,) tum denique οἱ ἐκλέγοντες, publicani, qui vectigal a mercatoribus et nautis exigebant. Confer Demosthenem p. 713. 4. ed. R. 719. 15. 745. 15. Ulpianum ad Demosth. p. 738. ed. R. Lycurgum p. 150. v. 17." Palmerius, qui h. l. tetigit, fortasse nunquam magis cæcutiit. SLUITER.

Αὐτοὶ] Malim αὐτῷ. REISK.

Παρασυλλεγέντες ὑπὸ τὴν λεύκην τὸ, πόσους ὑμεῖς] Π. παρασυλλεγέντες εἰς τὸν ὑπὸ τὴν λεύκην τόπον, οὓς ὑμεῖς. H. STEPHAN. Postremum quidem recte, οὓς puta, cætera minus. Nil aliud quam tolle τόπος, quod e scholio irrepsit. Scripserat aliquis super λεύκην pro annotatione τόπος, ut indicaret, illo vocabulo designari locum aliquem. Id postea in textum fuit ipsum immissum. Lege itaque λεύκην, οὓς ὑμεῖς — Videtur λεύκη locus Athenis fuisse, ubi auctiones vel licitationes haberentur rerum publice venalium, ut vectigalium, sic dictus a populo quadam ingente et umbrosa, sub qua multi convenirent. REISK.

Παρασυλλεγέντες ὑπὸ τὴν λευκὴν τὸ, πόσους ὑμεῖς ἴστε οἷοι εἰσὶν] Mira est in depravatissimo loco emendando Valckenaerii cum Reiskio consensio; neque hujus tan-

οἷοι εἰσίν· οἳ διὰ τοῦτο ἔμοιγε δοκοῦσι συλλεγῆναι ἐκεῖσε, 66
ἵν' αὐτοῖς ἀμφότερα ᾖ, καὶ μὴ ὑπερβάλλουσι λαβεῖν ἀρ-
γύριον καὶ [1] ὀλίγου πραθείσης μετασχεῖν. κερδάναντες δὲ
[2] τρία τάλαντα, γνόντες τὸ πρᾶγμα οἷον εἴη, ὡς πολλοῦ ἄξιον,
συνέστησαν πάντες, καὶ μεταδόντες τοῖς ἄλλοις ἐωνοῦντο
πάλιν τριάκοντα ταλάντων. ἐπεὶ δ' οὐκ ἀντωνεῖτο οὐδεὶς,
παρελθὼν ἐγὼ εἰς τὴν βουλὴν [3] ὑπερέβαλον, ἕως ἐπριάμην
ἓξ καὶ τριάκοντα ταλάντων. ἀπελάσας [4] δὲ τούτους καὶ
καταστήσας ὑμῖν ἐγγυητὰς ἐξέλεξα τὰ χρήματα καὶ 67
κατέβαλον τῇ πόλει καὶ αὐτὸς οὐκ ἐζημιώθην, ἀλλὰ καὶ
βραχέα ἀπεκερδαίνομεν οἱ μετασχόντες· τούτους δ' ἐποίησα
τῶν ὑμετέρων μὴ διανείμασθαι ἓξ τάλαντα ἀργυρίου. ἃ
οὗτοι γνόντες ἔδοσαν σφίσιν αὐτοῖς λόγον, ὅτι ἄνθρωπος
οὑτοσὶ οὔτε αὐτὸς λήψεται τῶν κοινῶν χρη-
μάτων οὔθ' ἡμᾶς ἐάσει, φυλάξει δὲ καὶ ἐμποδὼν
ἔσται διανείμασθαι τὰ κοινά· πρὸς δὲ τούτοις,
ὃν ἂν [5] ἡμῶν ἀδικοῦντα λάβῃ, εἰσάξει εἰς τὸ πλῆ-
θος τῶν Ἀθηναίων καὶ ἀπολεῖ. δεῖ οὖν τοῦτον
ἐκποδὼν [6] ἡμῖν εἶναι καὶ δικαίως καὶ ἀδίκως.
ταῦτα μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, τούτοις ποιητέα ἦν,

[1] ὀλίγον [2] δύο τάλαντα, γνῶναι [3] ὑπερέβαλλον [4] δὲ] καὶ [5] ὑμῶν [6] ὑμῖν

Πρόπαππος] Reddidi ac si legissem: πατρόπαππος. *avus paternus.* IDEM. Ad hoc Valckenaerius, consentiens cum iis quæ, quæ Cap. I. monuimus, scripserat: "Legendum πάππος. Leogoras ille ipsius erat Andocidis πρόπαππος, quod vel e nomine liquet, sed manifestum est e p. 14. v, 22. ed. Steph. στρατηγοῦντος Λεωγόρου τοῦ προπάππου τοῦ ἐμοῦ. SLUITER.

Διαλλαχθέντα] Π. διαλλαχθέντι. H. STEPHAN.

Εἶναι εἴπερ τι] Π. εἶναι, ὃ, εἴπερ τι ἄλλο, νῦν —. H. STEPHAN. Mihi videtur auctoris sententia hæc ferme postulare — εἶναι, καὶ ὅτι, εἰ καὶ μὴ πρότερον, ἀλλὰ νῦν γε φρονῶν τυγχάνω. *et quod, antea si non sapui, nunc certe sapio.* REISK. F. εἰ περὶ τὰ ἄλλα (aut περὶ τἄλλα) νῦν γε φρονῶν τυγχάνω. *si in cæteris rebus nunc certe sapio.* Lys. Def. pro Mantith. p. 145. v. 37. ed. Steph. ἀξιῶ δὲ, ἐὰν μὲν τοῦτο μόνον ὑμῖν ἐπιδείξω, ὡς εὔνους εἰμὶ τοῖς καθεστηκόσι πράγμασι —, μηδέν πώ μοι πλέον εἶναι· ἐὰν δὲ φαίνωμαι περὶ τὰ ἄλλα μετρίως βεβιωκὼς —, δέομαι ὑμῶν ἐμὲ μὲν δοκιμάζειν, τούτους δὲ ἡγεῖσθαι χείρους εἶναι.

Εἰκότως ὑπάρχει — τυγχάνω] Luzacius legit: εἰκότως ὑπάρχον δημοτικῷ εἶναι, εἴπερ τι ἄλλο τε, νῦν γε φρονῶν τυγχάνω. "Sic νῦν γε habet (inquit), cui opponatur ἄλλο τε, quod omnino requiritur. *Ita ut, quum ad me, propter majorum facinora, omnino probabiliter pertineat popularem esse, si alio tempore aliter fortassis senserim, nunc certe* (a priore mente mutatus) *sic sentio.*" SLUITER. Sententia et obscura et manca. equidem conjeci: καὶ εἴπερ τι ἡμάρτηκα, ἀλλὰ νῦν γε φρονῶν τυγχάνω. *Ad Xen. Cyrop.* l. viii. c. 8. §. 20. SCHNEIDER.

Γένησθε] Verbum ultimum Orationis γένησθε mutari malim in γενέσθαι, quia, æque ac præcedens ποιῆσαι, rectius videtur pendere a βουλοίμην, quam absolute dici. SLUITER.

ΑΝΔΟΚΙΔΟΥ

ΛΟΓΟΣ

ΠΕΡΙ ΤΗΣ ΠΡΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΟΥΣ ΕΙΡΗΝΗΣ.

I. OTT. SLUITERI

AD

ORATIONEM ANDOCIDIS

DE PACE CUM LACEDÆMONIIS

PRÆFATIO.

NON germanam Andocidis esse hanc Orationem, præter Dionysium Halicarnasseum, Auctore Argumenti teste, judicarunt etiam alii, aut saltem dubitarunt, an vere esset ab Andocide conscripta: Harpocration, qui ter eam laudat, semper addit εἰ γνήσιος: Tib. Hemsterhusius ad Aristophanis Plutum p. 474. "Andocides (inquit), seu verus sit, sive ficto nomine suppositus, in initio περὶ τῆς πρὸς Λακεδαιμονίους εἰρήνης. Additque illum et Æschinem prope finem Orationis *de male obita Legatione*, (p. 51. v. 13. ed. Steph.) verbis scripsisse tam similibus, ut alter ab altero fuisse mutuatus videatur." 'Andocides, seu quis alius Orator de Pace cum Lacedæmoniis,' testis citatur a Marklando ad Lysiam p. 477. v. 7. et 'Pseudo-Andocidem fere verbatim Æschinea transcripsisse, in Orationem suam π. τ. π. Λακ. Εἰρήνης,' idem ait ad l. l. Æschinis: Taylorus suo more non dubiam sibi visus censuram agere Lect. Lys. c. 6. p. 693. Sophistæ Orationem esse statuit, qui iisdem per omnia pæne verbis locum emendicarit, ex fine Orationis Æschineæ *de ementita legatione*, descriptis, uti fit, perperam quæ hujus erant. Valckenaerio contra accurate lecta Andocidis esse videbatur: "idem (inquit) ingenium, idem elucet scribendi color." Etiam Wesselingius ad Diod. Sic. l. XII. c. 8. et Ruhnkenius in Histor. Crit. Orat. Gr. p. 52. exscriptum ab Æschine censent Andocidem. Sic Lysiam in Or. de Bon. Aristophan. descripsisse Andocideam *de Mysteriis* Orationem, ipse animadvertit Taylorus Lect. Lys. p. 678. Ita de Lysia atque Isocrate sæpe V. D. dubitant, uter utrum expresserit; et Isocrates quidem, negans se unquam alienos pannos adsumsisse, non vereri se ait, sua ipsum dicta repetere, "ὁρῶν τοὺς ἄλλους τοῖς ἐμοῖς χρωμένους," ad Philipp. p. 101. A. Nihil igitur

mirum, si posterior ætate Æschines vetustioris Andocidis loco sit usus; neque ea satis idonea causa est, cur Andocideam a Sophista conscriptam judicemus. Quod si in historicis erret Orator, haud magis id eo valet, ut Andocidi Oratio abjudicetur, qui alibi etiam historica confundit. Quod vero eadem Æschines brevius, longius Andocides dicit, id maxime contra Taylorum facere videtur; magis enim is, qui exscribit, contrahere priorum dicta, quam stilo augere solet. Igitur, si Æschines lacinia Andocidea non potuisse uti videatur, magis in illam propendebat sententiam Valckenaerius, ut eam Æschineæ Orationi ab alio assutam arbitraretur. Quod si Andocides historica confuderit, haud insolitum illud fuisse Oratoribus Atticis animadvertebat; cum et Cæcilius a Suida v. *Καικίλιος* scripsisse dicatur *περὶ τῶν καθ' ἱστορίαν ἢ παρ' ἱστορίαν εἰρημένων τοῖς ῥήτορσι*. Præcipuus autem Oratoris error est, quod Miltiadem laudaverit pacis cum Lacedæmone auctorem, qui non Miltiades fuit, sed Cimon, uti præter alios ex Corn. Nepote in Vita Cimonis c. 3. apparet. Denique, uti in concione populi ab Andocide habitam putabat, sic pacem intelligi suspicabatur, quæ prima fuit post muros dejectos, de qua conf. Xenophon Hellen. l. V. p. 321. seq. edit. Steph. Pleraque, quæ sequuntur, historica recte sese habere judicabat Valckenaerius, ex Thucydide et Diodoro Siculo probanda. Hocce viri summi judicium, quicumque Orationem diligenter legerit, probaturum arbitror: equidem re bene perpensa, quum antea contra sentirem, his rationibus in Valckenaerii sententiam sum pertractus.

ΑΝΔΟΚΙΔΟΥ

ΠΕΡΙ ΤΗΣ ΠΡΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΟΥΣ ΕΙΡΗΝΗΣ ΛΟΓΟΣ.

Pag. ed. H. Steph. 23. 25 — Pag. ed. Reisk.

ΥΠΟΘΕΣΙΣ.

ΤΟΥ Ἑλληνικοῦ μηκυνομένου πολέμου, καὶ πολλὰ μὲν Ἀθηναίων κακὰ, 89
πολλὰ δὲ Λακεδαιμονίων, ὑπομεινάντων, καὶ τῶν ἑκατέρων συμμάχων, Ἀθηναῖοι πρέσβεις ἀπέστειλαν πρὸς Λακεδαιμονίους αὐτοκράτορας· ὧν ἐστὶ καὶ 90
Ἀνδοκίδης. τινῶν δὲ προταθέντων παρὰ Λακεδαιμονίων, καὶ ἀποστειλάντων κἀκείνων ἰδίους πρέσβεις, ἔδοξεν ὥστε εἴσω τεσσαράκοντα ἡμερῶν ἐπιβουλεύσασθαι τὸν δῆμον περὶ τῆς εἰρήνης. καὶ ἐπὶ τούτοις Ἀνδοκίδης συμβουλεύει τοῖς Ἀθηναίοις καταδέξασθαι τὴν εἰρήνην. Ἔστι μὲν οὖν συμβουλῆς τὸ εἶδος· κεφάλαιον δὲ τὸ συμφέρον. Φιλόχορος μὲν οὖν λέγει καὶ ἐλθεῖν τοὺς πρέσβεις ἐκ Λακεδαιμονίας, καὶ ἀπράκτους[1] ἀνελθεῖν, μὴ πείσαντος τοῦ Ἀνδοκίδου. ὁ δὲ Διονύσιος νόθον εἶναι λέγει τὸν λόγον.

α΄. ὍΤΙ μὲν εἰρήνην ποιεῖσθαι δικαίαν ἄμεινόν ἐστιν ἢ πολεμεῖν, δοκεῖτέ μοι, ὦ Ἀθηναῖοι, [2] πάντες γινώσκειν· ὅτι δὲ οἱ ῥήτορες τῷ μὲν ὀνόματι τῆς εἰρήνης συγχωροῦσι, τοῖς δ᾽ ἔργοις ἀφ᾽ ὧν ἡ εἰρήνη γένοιτο ἐναντιοῦνται, τοῦτο [3] δὲ οὐ πάντες αἰσθάνεσθε. λέγουσι γὰρ, ὡς ἔστι δεινότατον τῷ δήμῳ, γενομένης εἰρήνης, ἡ νῦν οὖσα πολιτεία μὴ καταλυθῇ. εἰ μὲν οὖν μηδεπώποτε [4] πρότερον ὁ δῆμος ὁ τῶν Ἀθηναίων εἰρήνην ἐποιήσατο πρὸς Λακεδαιμονίους, εἰκότως ἂν ἐφοβούμεθα αὐτὸ διά τε τὴν ἀπειρίαν τοῦ [5] ἔργου διά τε τὴν ἐκείνων ἀπιστίαν· ὅπου δὲ πολλάκις ἤδη πρότερον εἰρήνην ἐποιή- 91
σατε δημοκρατούμενοι, πῶς οὐκ εἰκὸς ὑμᾶς πρῶτον ἐκεῖνα σκέψασθαι τὰ τότε γενόμενα; χρὴ γὰρ, ὦ Ἀθηναῖοι,

[1] ἐπανελθεῖν [2] Deest πάντες. [3] Deest δέ.
[4] Deest πρότερον. [5] ἔργου, καὶ διὰ τὴν

Εἰρήνην] F. εἰρήνη. Ita reddidit Pulnæus: *verbotenus paci favent.* quære tamen. Taylor.

Δεινότατον] Id est h. l. *μεστὸν πλείστου δέους, admodum metuendum.* Reisk.

Τὴν ἐκείνων ἀπιστίαν] Propterea quod iis fidi nullo modo potest. Idem.

Ἐποιήσατε] Imo vero ἐποιήσασθε in medio. quod modo præcessit. Idem.

Χρὴ γὰρ, ὦ Ἀθηναῖοι,—] Prudentissimum hoc præceptum, quod paullo diversis verbis infra bis repetit p. 27. v. 9. et 32. ed. Steph. et aliis imitatione et Patribus Ecclesiæ laude dignum visum est. Clemens Alexandrinus Strom. l. vi. p. 747. postquam similia duo Euripidis loca laudavit,

τεκμηρίοις χρῆσθαι τοῖς πρότερον γενομένοις περὶ τῶν μελ-
λόντων ἔσεσθαι. ἡνίκα τοίνυν ἦν μὲν ὁ πόλεμος ἡμῖν ἐν Εὐ-
βοίᾳ, Μέγαρα δὲ εἴχομεν καὶ Πηγὰς καὶ Τροιζῆνα, εἰρήνης
ἐπεθυμήσαμεν, καὶ Μιλτιάδην τὸν Κίμωνος ὠστρακισμένον
καὶ ὄντα ἐν Χεῤῥονήσῳ κατεδεξάμεθα δι' αὐτὸ τοῦτο, πρό-
ξενον ὄντα Λακεδαιμονίων, ὅπως πέμψαιμεν [1]ἐς Λακεδαί-
μονα προκηρυκευσόμενον περὶ σπονδῶν. καὶ τότε ἡμῖν εἰρήνη
ἐγένετο πρὸς Λακεδαιμονίους ἔτη πέντε, καὶ ἐνεμείναμεν 24. 1
ἀμφότεροι ταύταις ταῖς σπονδαῖς ἔτη τριακαίδεκα. ἐν δὴ
τοῦτο, ὦ Ἀθηναῖοι, πρῶτον σκεψώμεθα. ἐν ταύτῃ τῇ εἰρήνῃ
ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἔσθ' ὅπου κατελύθη; οὐδεὶς ἀπο-
δείξει. ἀγαθὰ δὲ ὅσα ἐγένετο διὰ ταύτην τὴν εἰρήνην, ἐγὼ
ὑμῖν φράσω. πρῶτον μὲν τὸν Πειραιᾶ [2]τότε ἐτειχίσαμεν ἐν
τούτῳ τῷ χρόνῳ, εἶτα τὸ μακρὸν τεῖχος τὸ βόρειον· ἀντὶ δὲ
τῶν τριηρῶν αἳ τότε ἡμῖν ἦσαν παλαιαὶ καὶ ἄπλοι, αἷς
βασιλέα καὶ βαρβάρους καταναυμαχήσαντες ἠλευθερώσα-
μεν τοὺς Ἕλληνας, ἀντὶ τούτων τῶν νεῶν ἑκατὸν τριήρεις

[1] εἰς

[2] Deest τότε.

hinc expressa ait verba Hyperidis: ἃ δ' ἐστὶν ἀφανῆ, ἀνάγκη τοὺς διδάσκοντας τεκμηρίοις καὶ τοῖς εἰκόσι ζητεῖν. Deinde addit: Ἰσοκράτους τε αὖ εἰπόντος, Δεῖ δὲ τὰ μέλλοντα τοῖς προγεγενημένοις τεκμαίρεσθαι· Ἀνδοκίδης οὐκ ὀκνεῖ λέγειν, Χρὴ γὰρ τεκμηρίοις χρῆσθαι τοῖς πρότερον γενομένοις περὶ τῶν μελλόντων ἔσεσθαι· quasi Andocides ex Isocrate, non hic ex illo, sua hauserit: forte et scriptor ille, quem compilavit Clemens, spuriam Orationem *de Pace* habuit, nisi inverso ordine verba illius descripserit Clemens. Ex hoc autem, quemadmodum et ex Eusebio et Cyrillo Alexandrino, sua cougessit Theodoretus Serm. vi. p. 581. A. (p. 102. v. 6. edit. Sylburg.) qui et Andocidis locum ita descripsi Χρὴ τεκμηρίοις κεχρῆσθαι τοῖς προγεγενημένοις περὶ τῶν μελλόντων. Locus, quem illi citant, Isocratis exstat in Panegyrico p. 70. A. ubi tamen exempla edita non habent τοῖς προγεγενημένοις, sed τοῖς γεγενημένοις. Similiter locum Andocidis expressit Lysias p. 173. v. 31. ed. Steph. Χρὴ τοίνυν — τοῖς πρότερον γεγενημένοις παραδείγμασι χρωμένους, βουλεύεσθαι περὶ τῶν μελλόντων ἔσεσθαι. Ante reliquos autem idem jam dixerat Sophocles in Œd. Tyr. v. 915.

—— —— οὐδ', ὁποῖ' ἀνὴρ
Ἔννους, τὰ καινὰ τοῖς πάλαι τεκμαίρεται.

Sluiter.

Πηγὰς] Harpocration ex h. l. citans dicit esse, τόπον ἐν Μεγάροις, auctore Hellanico. Pegas simul cum Megaris in Atheniensium fuisse potestate, et Thucydide auctore constat l. i. c. 103. (ad q. l. Scholiasta dicit fuisse ἐμπόριον πλησίον Μεγάρων) c. 107. et c. 111. Idem.

Μιλτιάδην τὸν Κίμωνος] Non Miltiades Cimonis, sed Cimo Miltiadis, fuit, qui pacem hanc cum Lacedæmoniis sancivit, si fides habenda sit Æmilio, Plutarcho, et Diodoro Sic. Vid. tamen Æschin. p. 51. 14. ed. Steph. Taylor.

Πέντε] Quid? Num ἔτη τριακαίδεκα ἐκ τῶν πέντε? Ita omnino sequeretur, ut lectio stat. Non profecto Miltiades pacem in quinquennium solummodo pepigit cum Lacedæmoniis, sed in annum quinquagesimum, si fides Æschini. margo quoque Pulnæi dat: Alii, quinquaginta. Idem.

Πέντε] Imo vero εἰς ἔτη πεντήκοντα, ut recte Taylor ex Æschine in Lection. Lysiacis c. 6. emendat. Reisk. Corrupta Andocidis verba sic restituo: εἰρήνη ἐγένετο πρὸς Λακεδαιμονίους ἔτη πεντήκοντα. Nam annorum quinquaginta, et non quinque pax hæc fuit; etsi tredecim tantum ex istis sarta tecta. *In Athen. Att.* l. iii. c. 11. Meursius.

Ἄπλοι] Ἄπλοαι. Taylor.

ἐναυπηγησάμεθα· καὶ πρῶτον τότε τριακοσίους ἱππεῖς κατ- 92
εστησάμεθα, καὶ τοξότας τριακοσίους Σκύθας ἐπριάμεθα. καὶ ταῦτα ἐκ τῆς εἰρήνης τῆς πρὸς Λακεδαιμονίους ἀγαθὰ τῇ πόλει καὶ δύναμις τῷ δήμῳ τῶν Ἀθηναίων ἐγένετο. μετὰ δὲ ταῦτα δι' Αἰγινήτας εἰς πόλεμον κατέστημεν, καὶ πολλὰ κακὰ παθόντες, πολλὰ δὲ ποιήσαντες, ἐπεθυμήσαμεν πάλιν τῆς εἰρήνης· καὶ ἡρέθησαν δέκα ἄνδρες ἐξ Ἀθηναίων ἁπάντων πρέσβεις εἰς Λακεδαίμονα περὶ εἰρήνης αὐτοκράτορες, ὧν ἦν [1] καὶ Ἀνδοκίδης ὁ πάππος ὁ ἡμέτερος. οὗτοι ἡμῖν εἰρήνην ἐποιήσαντο πρὸς Λακεδαιμονίους ἔτη τριάκοντα. καὶ ἐν τοσούτῳ χρόνῳ ἔστιν ὅπου, ὦ Ἀθηναῖοι, ὁ δῆμος κατελύθη; τί [2] δέ; πράττοντές τινες δήμου κατάλυσιν ἐλήφθησαν; οὐκ ἔστιν ὅστις ἀποδείξει, ἀλλ' αὐτὸ τὸ ἐναντιώτατον. αὕτη γὰρ ἡ εἰρήνη τὸν δῆμον τῶν Ἀθηναίων ὑψηλὸν ἦρε καὶ κατέστησεν ἰσχυρὸν οὕτως, ὥστε πρῶτον μὲν ἐν τούτοις τοῖς ἔτεσιν εἰρήνην λαβόντες ἀνηνέγκαμεν χίλια τάλαντα εἰς τὴν ἀκρόπολιν, καὶ νόμῳ κατεκλείσα- 93
μεν ἐξαίρετα εἶναι τῷ δήμῳ· τοῦτο δὲ τριήρεις ἄλλας ἑκατὸν ἐναυπηγησάμεθα, καὶ ταύτας ἐξαιρέτους ἐψηφισάμεθα εἶναι, νεωσοίκους τε ᾠκοδομησάμεθα, χιλίους τε καὶ διακοσίους ἱππέας καὶ τοξότας τοσούτους ἑτέρους κατεστήσα-

[1] Deest καί. [2] δαὶ

Καὶ δύναμις] Malim: καὶ αὕτη ἡ δύναμις. et sic quoque paulo post p. 310. 23. Reisk.

Πολλὰ κακὰ παθόντες, πολλὰ δὲ ποιήσαντες] Alius quis dicendi paulo diligentior, dicturus erat πολλὰ μὲν κακὰ παθόντες, πολλὰ δὲ καὶ ποιήσαντες. Idem.

Εὑρέθησαν] Π. ᾑρέθησαν. H. Stephan.

Ἔτη] Malim εἰς ἔτη. finis vocabuli præcedentis Λακεδαιμονίους potuit præpositionem εἰς absorbere. Reisk.

Τί δαὶ] Malim hic loci quidem τί δέ. Idem.

Αὕτη γὰρ ἡ εἰρήνη —] Vid Meurs. Cecrop. c. 26.

Εἰρήνην λαβόντες] Vocabulum prius mihi suspectum est. videtur in eo potius nomen urbis aut regionis alicujus ab Atheniensibus captæ et domitæ latere, e. c. Αἴγινήν. Sed conferenda historia, quod mihi nunc non vacat. Aut pro λαβόντες leg. est ἄγοντες. Reisk.

Ἐν τούτοις τοῖς ἔτεσιν εἰρήνην λαβόντες] "Illa Reiskii conjectura (ait Luzacius) ut εἰρήνην in Αἴγινην mutetur, nihili est: cæterum me non offendit locutio ἐν τούτοις τοῖς ἔτεσιν εἰρήνην λαβόντες, *cum per istos annos pacem accepissemus acceptaque servassemus*, seu *pace accepta fruiti fuissemus*." Altera Reiskii conjectura, εἰρήνην ἄγοντες, priori illa majorem habet speciem, maxime propter locum Æschinis, qui et ipse dicit p. 51. v. 20. ed. Steph. εἰρήνην ἔτη τριάκοντα ἠγάγομεν: tum quia dictio εἰρήνην ἄγειν passim est obvia, et in hac quidem Oratione sæpius occurrit, ut p. 26. v. 5. p. 27. v. 7. p. 28. v. 22. ed. Steph. et Isocratem Panegyr. p. 62. E. p. 77. A. Areopag. p. 140. c. et alibi: sic et σπονδὰς ἄγειν infra dicitur p. 26. v. 15. Sluiter.

Ἐξαιρέτους] Subaudi e præmissis τῷ δήμῳ. proprias reipublicæ, ut non possent aliis usibus, quam ejus, impendi. Reisk.

Νεωσοίκους] Ex h. l. citant Harpocration et Suidas, ad verbum eandem repetentes notam, quæ ut Ulpiani exstat ad Demosthenem de Cherrhoneso p. 191. v. 16. Sluiter.

μεν, καὶ τὸ τεῖχος τὸ μακρὸν τὸ νότιον ἐτειχίσθη. ταῦτα ἐκ τῆς εἰρήνης τῆς πρὸς Λακεδαιμονίους ἀγαθὰ τῇ πόλει καὶ δύναμις τῷ δήμῳ τῶν Ἀθηναίων ἐγένετο. πάλιν δὲ διὰ Μεγαρέας πολεμήσαντες καὶ τὴν χώραν τμηθῆναι προέμενοι, πολλῶν ἀγαθῶν στερηθέντες αὖθις τὴν εἰρήνην ἐποιησάμεθα, ἣν ἡμῖν Νικίας ὁ Νικηράτου κατειργάσατο. οἶμαι δ' ὑμᾶς ἅπαντας εἰδέναι τοῦτο, ὅτι διὰ ταύτην τὴν εἰρήνην ἑπτακισχίλια μὲν τάλαντα νομίσματος εἰς τὴν ἀκρόπολιν ἀνηνέγκαμεν, ναῦς δὲ πλείους ἢ τετρακοσίας ἐκτησάμεθα, καὶ φόρος προσῄει κατ' ἐνιαυτὸν πλέον ἢ διακόσια καὶ χίλια τάλαντα, καὶ Χερρόνησόν τε εἴχομεν καὶ Νάξον καὶ Εὐβοίας πλέον ἢ τὰ δύο μέρη· τάς τε ἄλλας ἀποικίας καθ'
94 ἕκαστον διηγεῖσθαι μακρὸς ἂν εἴη λόγος. ταῦτα δ' ἔχοντες τὰ ἀγαθὰ πάλιν κατέστημεν εἰς πόλεμον πρὸς Λακεδαιμονίους, πεισθέντες καὶ τότε ὑπ' Ἀργείων.

β'. Πρῶτον μὲν οὖν, ὦ Ἀθηναῖοι, τούτου ἀναμνήσθητε, τί ὑμῖν ἐξ ἀρχῆς ὑπεθέμην τῷ λόγῳ. [1] ἄλλο τι ἢ τοῦτο, ὅτι διὰ τὴν εἰρήνην οὐδεπώποτε ὁ δῆμος ὁ τῶν Ἀθηναίων [2] κατελύθη; οὐκοῦν ἀποδέδεικται, καὶ οὐδεὶς ἐξελέγχει με ὡς οὐκ ἔστι ταῦτα ἀληθῆ. ἤδη δέ τινων ἤκουσα λεγόντων ὡς ἐκ τῆς τελευταίας εἰρήνης τῆς πρὸς Λακεδαιμονίους οἵ τε τριάκοντα κατέστησαν, πολλοί τε Ἀθηναίων κώνειον πίοντες ἀπέθανον, οἱ δὲ φεύγοντες ᾤχοντο. ὁπόσοι οὖν ταῦτα λέγουσιν, οὐκ ὀρθῶς γινώσκουσιν· εἰρήνη γὰρ καὶ σπονδαὶ πολὺ διαφέρουσι σφῶν αὐτῶν. εἰρήνην μὲν γὰρ ἐξ ἴσου ποιοῦνται πρὸς ἀλλήλους ὁμολογήσαντες περὶ ὧν ἂν διαφέρωνται· σπονδὰς δὲ, ὅταν κρατήσωσι κατὰ τὸν πόλεμον, οἱ κρείττους τοῖς ἥττοσιν ἐξ ἐπιταγμάτων ποιοῦνται, ὥσπερ ἡμῶν κρατήσαντες Λακεδαιμόνιοι τῷ πολέμῳ ἐπέταξαν ἡμῖν καὶ [3] τὰ τείχη καθαιρεῖν καὶ τὰς ναῦς παραδιδόναι καὶ

[1] ἄλλο ὅ,τι ἢ τοῦτο; [2] κατελύθη. [3] Deest τά.

Τὰ δύο μέρη] subaudi ἀπὸ τῶν τριῶν. *de tribus partibus duas.* Reisk.

Ἄλλο ὅ,τι ἢ τοῦτο] Malim: οὐκ ἄλλο τι ἢ τοῦτο. *non aliud vel nil aliud, quam hoc.* Idem. Leg. ἄλλο τι ἤ. Sluiter.

Ἐξελέγχει] F. ἐξελέγξει. Taylor. Malim ἐξελέγξει, ut supra p. 308. 11. et p. 309. 13. ἀποδείξει. Sluiter.

Εἰρήνη — σπονδὰς] Cum hoc loco de discrimine εἰρήνης et σπονδῶν Luzacius confert Isocratem in Archidamo p. 126. D. χρὴ τοὺς βουλομένους ἐλευθέρους εἶναι, τὰς μὲν ἐκ τῶν ἐπιταγμάτων συνθήκας φεύγειν, ὡς ἐγγὺς δουλείας οὔσας· ποιεῖσθαι δὲ τὰς διαλλαγὰς, ὅταν ἢ περιγένωνται τῶν ἐχθρῶν, ἢ τὴν αὐτῶν δύναμιν ἐξισώσωσι τῇ τῶν πολεμίων· ὡς τοιαύτην ἕκαστοι τὴν εἰρήνην ἕξουσιν, οἵανπερ ἂν τοῦ πολέμου ποιήσωνται τὴν διάλυσιν. Idem.

Καὶ τείχη] Malim τὰ τείχη. Reisk.

τοὺς φεύγοντας καταδέχεσθαι. τότε μὲν οὖν σπονδαὶ κατ᾽
25. ἀνάγκην ἐξ ἐπιταγμάτων ἐγένοντο· νῦν δὲ περὶ εἰρήνης βουλεύεσθε. σκέψασθε δὲ ἐξ αὐτῶν τῶν γραμμάτων, ἅ τε ἡμῖν ἐν τῇ στήλῃ γέγραπται, ἐφ᾽ οἷς τε νῦν ἔξεστι τὴν εἰρήνην ποιεῖσθαι. ἐκεῖ μὲν γέγραπται [1] τὰ τείχη καθαιρεῖν, ἐν δὲ 95
τοῖσδε ἔξεστιν οἰκοδομεῖν· ναῦς ἐκεῖ μὲν δώδεκα κεκτῆσθαι, νῦν δ᾽ ὁπόσας ἂν βουλώμεθα· Λῆμνον δὲ καὶ Ἴμβρον καὶ Σκῦρον τότε μὲν ἔχειν τοὺς ἔχοντας, νῦν δὲ ἡμετέρας εἶναι· καὶ φεύγοντας νῦν μὲν οὐκ ἐπάναγκες οὐδένα καταδέχεσθαι, τότε δ᾽ ἐπάναγκες, ἐξ ὧν ὁ δῆμος κατελύθη. τί ταῦτα ἐκείνοις ὁμολογεῖ; τοσοῦτον οὖν ἔγωγε, ὦ Ἀθηναῖοι, διορίζομαι περὶ τούτων, τὴν μὲν εἰρήνην σωτηρίαν εἶναι τῷ δήμῳ καὶ δύναμιν, τὸν δὲ πόλεμον δήπου κατάλυσιν γίνεσθαι. περὶ μὲν οὖν τούτων ταῦτα λέγω.

γ΄. Φασὶ δέ τινες ἀναγκαίως νῦν ἡμῖν ἔχειν πολεμεῖν· σκεψώμεθα οὖν πρῶτον, ἄνδρες Ἀθηναῖοι, διὰ τί καὶ [2] πολεμήσωμεν. οἶμαι [3] γὰρ ἂν πάντας ἀνθρώπους ὁμολογῆσαι διὰ τάδε δεῖν πολεμεῖν, ἢ ἀδικουμένους ἢ βοηθοῦντας ἠδικημένοις. ἡμεῖς τοίνυν αὐτοί τε ἠδικούμεθα, Βοιωτοῖς τε ἀδικουμένοις ἐβοηθοῦμεν. εἰ τοίνυν ἡμῖν τέ ἐστι τοῦτο παρὰ Λακεδαιμονίων, [4] τὸ μηκέτι ἀδικεῖσθαι, Βοιωτοῖς τε δέδοκται ποιεῖσθαι τὴν εἰρήνην, ἀφεῖσιν Ὀρχομενὸν αὐτόνομον, τίνος ἕνεκα [2] πολεμήσωμεν; ἵνα ἡ πόλις ἡμῖν ἐλευθέρα ᾖ; ἀλλὰ τοῦτό γε αὐτῇ ὑπάρχει. ἀλλ᾽ ὅπως ἡμῖν τείχη γένηται; 96
ἔστι καὶ ταῦτα ἐκ τῆς εἰρήνης. ἀλλ᾽ ἵνα τριήρεις ἐξῇ [5] ναυπηγεῖσθαι καὶ τὰς οὔσας ἐπισκευάζειν καὶ κεκτῆσθαι; καὶ τοῦτο ὑπάρχει· τὰς γὰρ πόλεις αὐτονόμους αἱ συνθῆκαι

[1] Deest τά. [2] πολεμήσομεν [3] γὰρ ἅπαντας
[4] τὸ μηκέτι ἀδικεῖσθαι παρὰ Λακεδαιμονίων [5] ναυπηγῆσαι

Ἐν τῇ στήλῃ] Eo in fœdere, quod cum Lysandro inibatis. Idem.

Ἐκεῖ μὲν γέγραπται τείχη καθαιρεῖν] Malim: ἐκεῖ μὲν γε [quod idem atque γὰρ hic significabit] γέγραπται, τὰ τείχη καθ. Idem.

Οἰκοδομεῖν ναῦς] Peccat interpunctio. Sic enim interpungendum: οἰκοδομεῖν. hic desinit sententia: nam subauditur e præmissis, commune τὰ τείχη. tum nova incipit sententia. ναῦς ἐκεῖ μὲν —. Idem.

Δήπου] F. δήμου. Taylor. Num leg. δήμου. ad hunc modum: τὸν δὲ πόλεμον δήμου κατάλυσιν γίνεσθαι. Reisk.

Ὁμολογῆσαι διὰ τάδε] Π. ὁμολογήσειν διὰ τ., ἢ, ὁμολογῆσαι ἂν διὰ τ. H. Stephan.

Ἀφεῖσιν] Sic dedi de meo, in dativo plurali participii aoristi secundi, pro vulgato ἀφήσειν. Reisk.

Ναυπηγῆσαι] Malim ναυπηγεῖσθαι. Idem.

Καὶ κεκτῆσθαι] Malim hæc duo vocabula prorsus abesse, aut sic legi: καὶ ἄλλας (vel ἄλλως) κεκτῆσθαι. Idem.

ποιοῦσιν. ἀλλ᾽ ὅπως τὰς νήσους κομισώμεθα, Λῆμνον καὶ Σκῦρον καὶ Ἴμβρον; οὐκοῦν διαῤῥήδην γέγραπται ταύτας Ἀθηναίων εἶναι. φέρε, ἀλλὰ Χεῤῥόνησον καὶ τὰς ἀποικίας καὶ τὰ ἐγκτήματα καὶ τὰ χρέα ἵνα ἀπολάβωμεν; ἀλλ᾽ οὔτε βασιλεὺς οὔτε οἱ σύμμαχοι συγχωροῦσιν ἡμῖν, μεθ᾽ ὧν αὐτὰ δεῖ πολεμοῦντας κτήσασθαι. ἀλλὰ νὴ Δία ἕως ἂν Λακεδαιμονίους καταπολεμήσωμεν καὶ τοὺς συμμάχους αὐτῶν, μέχρι τούτου δεῖ πολεμεῖν; ἀλλ᾽ οὔ μοι δοκεῖ οὕτω παρεσκευάσθαι. ἐὰν δὲ ἄρα κατεργασώμεθα, τί ποτε αὐτοὶ πείσεσθαι δοκοῦμεν ὑπὸ τῶν βαρβάρων, ὅταν ταῦτα πράξωμεν; εἰ τοίνυν περὶ τούτου μὲν ἔδει πολεμεῖν, χρήματα δὲ ὑπῆρχεν ἡμῖν ἱκανὰ, τοῖς δὲ σώμασιν ἦμεν δυνατοὶ, οὐδὲ οὕτως ἔδει πολεμεῖν. εἰ δὲ μήτε διότι μήτε ὅτοισι μήτε ἀφ᾽ ὅτου [1] πολεμήσωμεν ἔστι, πῶς οὐκ ἐκ παντὸς τρόπου τὴν εἰρήνην ποιητέον ἡμῖν;

δ΄. Σκέψασθε δὲ, ὦ Ἀθηναῖοι, καὶ τόδε, ὅτι νυνὶ πᾶσι
97 τοῖς Ἕλλησι κοινὴν εἰρήνην καὶ ἐλευθερίαν πράττετε, καὶ μετέχειν ἅπασι πάντων ἐξουσίαν ποιεῖτε. ἐνθυμήθητε οὖν τῶν πόλεων τὰς μεγίστας τίνι τρόπῳ τὸν πόλεμον καταλύονται. πρῶτον μὲν Λακεδαιμονίους, οἵτινες ἀρχόμενοι μὲν ἡμῖν καὶ τοῖς συμμάχοις πολεμεῖν ἦρχον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· νῦν δ᾽ [2] αὐτοῖς ἐκ τῆς εἰρήνης οὐδέτερον τούτων ὑπάρχει. καὶ [3] οὐχ ὑφ᾽ ἡμῶν ἀναγκαζόμενοι ταῦτ᾽ ἀφιᾶσιν, ἀλλ᾽ ἐπ᾽ ἐλευθερίᾳ πάσης τῆς Ἑλλάδος. νενικήκασι γὰρ τρὶς ἤδη μαχόμενοι· τότε μὲν ἐν Κορίνθῳ πάντας πανδημεὶ τοὺς συμμάχους παρόντας, οὐχ ὑπολιπόντες πρόφασιν οὐδεμίαν, ἀλλ᾽ ἐν τῷ κρατιστεύειν μόνοι πάντων·

[1] πολεμήσομεν [2] αὔτως [3] Deest οὐχ.

Ἐγκτήματα] Sic de meo dedi, *possessiones in alieno fundo*, pro velusta lectione vitiosa ἐγκλήματα. IDEM. Jam ante Reiskium emendavit Valckenaerius, suamque conjecturam proposuit ad Herodotum, l. v. c. 23. SLUITER.

Δοκεῖ] Vitium hic subest procul dubio. aut enim δοκεῖ ἡ πόλις leg. est, aut δοκεῖτε, aut δοκοῦμεν. REISK.

Πρῶτον μὲν] Respondet Βοιωτοὶ δὲ p. 313. 9. IDEM.

Νῦν δ᾽ αὔτως] Malim: νῦν δ᾽ αὐτοῖς. IDEM.

Καὶ ὑφ᾽ ἡμῶν] Imo vero καὶ οὐχ ὑφ᾽ ἡμῶν. *neque remittunt ista a nobis coacti.* IDEM.

Τότε μὲν ἐν Κορίνθῳ] Pugnam intelligit, quæ μεγάλη μάχη dicta est, de qua Xenophon lib. iv. c. 2. Hellenic. quæ pugnata est, Diophanto Archonte, Ol. XCVI, 2. PALMER.

Οὐχ ὑπολιπόντες πρόφασιν οὐδεμίαν, ἀλλ᾽ ἐν τῷ κρατιστεύειν μόνοι πάντων] Locum, quem a Reiskio frustra tentatum quasi desperatum equidem reliqueram, facili emendatione expedivit Luzacius. "Vide (inquit), an locus sanatus sit simplici hac mea emendatione: οὐχ ὑπολιπόντες πρόφασιν οὐδεμίαν, ἀλλ᾽ ἢ τὸ κρατιστεύειν μόνοι

αὖθις δὲ Βοιωτοὺς, ὅτ' αὐτῶν Ἀγησίλαος ἡγεῖτο, τὸν αὐτὸν
τρόπον καὶ ὅτε τὴν νίκην ἐποιήσαντο· τρίτον δ' ἡνίκα Λέ- 98
χαιον ἔλαβον, Ἀργείους μὲν ἅπαντας καὶ Κορινθίους, ἡμῶν
δὲ καὶ Βοιωτῶν τοὺς παρόντας. τοιαῦτα δ' ἔργα ἐπιδειξάμενοι, τὴν εἰρήνην εἰσὶν ἕτοιμοι ποιεῖσθαι, τὴν ἑαυτῶν ἔχοντες, οἱ ἐνίκων μαχόμενοι, καὶ τὰς πόλεις αὐτονόμους εἶναι καὶ τὴν θάλατταν κοινὴν ἐῶντες τοῖς ἡττημένοις. καίτοι ποίας τινὸς ἂν ἐκεῖνοι παρ' ἡμῶν εἰρήνης ἔτυχον, εἰ μίαν [1] μόνον μάχην ἡττήθησαν; Βοιωτοὶ δ' αὖ πῶς τὴν εἰρήνην ποιοῦνται; οἵτινες τὸν μὲν πόλεμον ἐποιήσαντο ἕνεκα
26. Ὀρχομενοῦ, ὡς οὐκ ἐπιτρέψοντες αὐτόνομον εἶναι, νῦν δὲ τεθνεώτων μὲν αὐτοῖς ἀνδρῶν τοσούτων τὸ πλῆθος, τῆς δὲ γῆς ἐκ μέρους τινὸς τετμημένης, χρήματα δ' εἰσενηνοχότες πολλὰ καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ὧν στέρονται, πολεμήσαντες δὲ ἔτη τέτταρα, ὅμως Ὀρχομενὸν ἀφέντες αὐτόνομον τὴν εἰρήνην ποιοῦνται καὶ ταῦτα μάτην πεπόνθασιν· ἐξῆν γὰρ αὐτοῖς καὶ τὴν ἀρχὴν ἐῶσιν Ὀρχομενίους αὐτονόμους εἰρήνην
ἄγειν. οὗτοι δ' αὖ τούτῳ τῷ τρόπῳ τὸν πόλεμον καταλύονται. 99
ἡμῖν δὲ, ὦ Ἀθηναῖοι, πῶς ἔξεστι τὴν εἰρήνην ποιήσασθαι;

[1] μόνην

(vel μόνους) πάντων. *Primum apud Corinthum omnes omnino socios fœderatosque, qui aderant, universe sic devicerunt, ut nullam iis relinquerent excusationem, nisi solos Lacedæmonios omnibus præstare.*" Sequentia sic fortasse non prorsus inepte scribantur: αὖθις δὲ Βοιωτοὺς, ὅτ' αὐτῶν Ἀγησίλαος ἡγεῖτο· τὸν αὐτὸν τρόπον δὲ καὶ τότε τὴν νίκην ἐποιήσαντο. Dictionem τὴν νίκην ποιεῖσθαι, qua nonnihil offenditur Reiskius, quamquam aliquanto insolentiorem, loco tamen movendam non arbitror, cum verbum ποιεῖσθαι simili structura et notione sit usitatum. pag. 28. v. 12. τὴν ἀρχὴν ἐποιησάμεθα τῶν ἀγαθῶν. Ita ποιεῖσθαι μάχην est μάχεσθαι· ποιεῖσθαι ἀγῶνα, ἀγωνίζεσθαι· ποιεῖσθαι λόγον, λέγειν· et ποιεῖσθαι δίκην, apud Demosthenem c. Bœot. p. 1018. v. 25. ed. Reisk. Animadvertit porro Valckenaerius: "Ea, quæ hic Andocides narrat de tribus Lacedæmoniorum hoc bello reportatis victoriis, vera esse et gesta tempore florentis Andocidæ; descripta autem a Xenophonte l. iv. p. 402. v. 19. secundam victoriam ad Coroneam, duce Agesilao p. 404. tertiam duce Praxita p. 406." SLUITER.

Ἀλλ' ἐν τῷ] Ἀλλ' videtur aut delendum, aut deesse aliquid. Neutrum si probamus, sic erit accipiendum, ac si dixisset: ἀλλὰ ἐνίκων πάντας τοὺς ἀντιτεταγμένους διὰ τὸ κρατιστεύειν μόνοι πάντων. REISK.

Αὐτῶν] Redit ad remotius, Lacedæmonios puta, non ad proprius, Bœotos. IDEM.

Τὸν αὐτὸν τρόπον καὶ ὅτε τὴν νίκην ἐποιήσαντο] Videtur sic leg. τὸν αὐτὸν τρόπον, [scil. ἐνίκων] ὃν [scil. ἐνίκων] καὶ ὅτε τὴν προτέραν νίκην ἐποιήσαντο. Bœotos eodem modo vincebant, quo tum vicerant, cum priorem victoriam reportassent. Verumtamen offendor nonnihil dictione νίκην ποιεῖσθαι. IDEM.

Τοὺς παρόντας] Subaudi ἐνίκων. Prima victoriarum ab Andocide hic commemoratarum videtur illa ad Nemeam fuisse, de qua v. Simsoni Chronicon ad A. M. 3601. p. 801. col. a. secunda ad Coroneam, de qua idem p. 803. de tertia v. idem p. 805. IDEM.

Τὴν ἑαυτῶν ἔχοντες, οἱ ἐνίκων μαχόμενοι] Valde vereor, ne nonnulla hic desint. E vulgatis, ut sunt, hanc utcunque sententiam exsculpo. contenti, si solum suum imposterum tenere sinantur, neque ad principatum Græciæ adspirantes, quamvis tot prœliis adversarios vicissent. IDEM.

Οὗτοι δ' αὖ] Malim οὗτοι μὲν οὖν. IDEM.

2 s

ποίων τινῶν Λακεδαιμονίων τυγχάνοντας; καὶ γὰρ εἴ τις
ὑμῶν ἀχθεσθήσεται παραιτοῦμαι· τὰ γὰρ ὄντα λέξω.
πρῶτον μὲν γὰρ ἡνίκα ἀπωλέσαμεν τὰς ναῦς ἐν Ἑλλησ-
πόντῳ καὶ τειχήρεις ἐγενόμεθα, τίνα γνώμην ἔθεντο περὶ
ἡμῶν οἱ νῦν μὲν ἡμέτεροι, τότε δὲ Λακεδαιμονίων ὄντες σύμ-
μαχοι; οὐ τὴν πόλιν ἡμῶν ἀνδραποδίζεσθαι καὶ τὴν χώραν
ἐρημοῦν; οἱ δὲ διακωλύσαντες ταῦτα μὴ γενέσθαι τίνες
ἦσαν; οὐ Λακεδαιμόνιοι, τοὺς μὲν συμμάχους ἀποτρέψαντες
τῆς γνώμης, αὐτοὶ δ' οὐδ' ἐπιχειρήσαντες διαβουλεύσασθαι
περὶ τοιούτων ἔργων; μετὰ [1] δὲ τοῦτο ὅρκους ὀμόσαντες
αὐτοῖς καὶ τὴν στήλην εὑρόμενοι παρ' αὐτῶν στῆσαι, κακὸν
ἀγαπητὸν ἐν ἐκείνῳ τῷ χρόνῳ, σπονδὰς ἤγομεν ἐπὶ ῥητοῖς·
εἶτα δὲ συμμαχίαν ποιησάμενοι, Βοιωτοὺς καὶ Κορινθίους
ἀποστήσαντες αὐτῶν, Ἀργείους δὲ ἀγαγόντες εἰς τὴν ποτὲ
100 φιλίαν, αἴτιοι τῆς ἐν Κορίνθῳ μάχης ἐγενόμεθα αὐτοῖς.
τίνες δὲ βασιλέα πολέμιον αὐτοῖς ἐποίησαν; καὶ Κόνωνι τὴν

[1] Deest δέ.

Τὴν στήλην] Significat eam tabulam, cui fuerunt inscriptæ conditiones, quas Lacedæmonii Atheniensibus imperarant, sive cum XXX tyrannos illi his imponerent, sive cum triginta tyrannis exactis, nova reip. forma institueretur. Idem.

Καὶ τὴν στήλην εὑρόμενοι παρ' αὐτῶν στῆσαι] De hoc loco quid sentiret, monuit me Luzacius: "Istud εὑρόμενοι et Valckenaerio vitiosum fuit visum et mihi videtur. Emendatio certa haud suppetit. 'An ἐφιέμενοι (inquit Valckenaerius), *læti admittentes columnam, quam vellent, erigere*, cui scilicet pacis inscriptæ essent conditiones, paulo ante imperium τῶν τριάκοντα. An et στῆναι scribendum?' Ego cogitaveram, an posset reponi αἱρούμενοι — *cumque ipsi sponte nostra* (nempe a Theramene ac sociis proditi) *hanc conditionem elegissemus, ut columna erigeretur*: — conditiones datæ pacis habet Xenophon p. 270. v. 10. nihil de columna: Andocides p. 24. v. 44. ed. Steph. σπονδὰς vocat κατ' ἀνάγκην ἐξ ἐπιταγμάτων: p. 25. v. 1. memorans columnam et acerbas huic inscriptas conditiones." Sluiter.

Εἰς τήν ποτε φιλίαν] Num leg. εἰς τὴν ἀπευκτήν ποτε φ. *Argivos cum adduxissemus ad amicitiam, olim aliquando diris carminibus ejuratam.* h. e. cum belli societatem inissemus cum Argivis, quos olim tanto fuissemus odio prosecuti, ut eos diris devoveremus, qui auctores nobis fierent amicitiæ cum illis contrahendæ. Reisk. Verum id quantum scio nunquam fuit factum. Contra Atheniensium magni intererat Argivos habere amicos et socios, qui Lacedæmoniis hostibus suis infestissimis vicini plurimum damni afferre possent: hac ductus ratione in contrariam incidi opinionem, ac suspicatus sum excidisse v. εὐκτὴν, cum verba εὐκτὴν et εἰς τὴν simillimis literarum ductibus scribantur. Tum vero legendum: Ἀργείους δὲ ἀγαγόντες εἰς εὐκτὴν τότε φιλίαν, *quum Argivos adduxissemus ad optatam eo tempore societatem.* Luzacio minori etiam mutatione opus esse videbatur: "Quid si, inquit, mutato ποτὲ in τότε simpliciter legamus ἀγαγόντες εἰς τὴν τότε φιλίαν, hoc sensu: *deinde inito cum sociis fœdere, Bœotis atque Corinthiis ad defectionem sollicitatis, Argivis autem pene invitis in istam, quæ tunc contracta est, amicitiam impulsis, auctores illis fuimus pugnæ, quæ ad Corinthum commissa est.* Mihi nulla emendatione opus videtur, nisi ut Π transeat in T. Τότε sic de rebus, quæ pridem fuerunt, sæpe substantivo junctum adhibetur: Palæphatus c. 3. οἱ τότε ἄνθρωποι· sic etiam c. 24. 25. et alibi: Heraclides Ponticus Allegor. Homer. p. 451. σπάνιος ἦν σίδηρος ἐν τῷ τότε πάλαι χρόνῳ. Vid. Marklandum ad Lysiam p. 254. v. ult." Sluiter.

ναυμαχίαν παρεσκεύασαν, δι' ἣν ἀπώλεσαν τὴν ἀρχὴν τῆς θαλάττης; ὅμως τοίνυν ταῦτα πεπονθότες ὑφ' ἡμῶν συγχωροῦσι ταῦτα ἅπερ οἱ σύμμαχοι, καὶ διδόασιν ἡμῖν τὰ τείχη καὶ τὰς ναῦς καὶ τὰς νήσους ἡμῶν εἶναι. ποίαν τιν' οὖν χρὴ εἰρήνην πρεσβεύοντας ἥκειν; οὐ ταῦτα παρὰ τῶν πολεμίων εὑρομένους ἅπερ οἱ φίλοι διδόασι, καὶ [1]δι' ἅπερ ἠρξάμεθα πολεμεῖν, ἵνα ἡμῶν γένηται τῇ [2]πόλει ταῦτα; οἱ μὲν τοίνυν ἄλλοι τὴν εἰρήνην ποιοῦνται τῶν ὑπαρχόντων ἀφιέντες, ἡμεῖς δὲ προσλαμβάνοντες αὐτὰ ὧν μάλιστα δεόμεθα.

έ. Τί οὖν ἐστὶν ὑπόλοιπον περὶ ὅτου δεῖ βουλεύεσθαι, καὶ περὶ ὧν ἂν ἡμᾶς Ἀργεῖοι προσκαλοῦνται; πρῶτον μὲν περὶ Κορίνθου διδαξάτω μέ τις· Βοιωτῶν μὴ συμπολεμούντων, εἰρήνην δὲ ποιουμένων πρὸς Λακεδαιμονίους, τίνος ἐστὶν ἡμῖν 101 ἀξία Κόρινθος; ἀναμνήσθητε γάρ, ὦ Ἀθηναῖοι, τῆς ἡμέρας ἐκείνης ὅτε Βοιωτοῖς τὴν συμμαχίαν ἐποιούμεθα, τίνα γνώμην ἔχοντες ταῦτα ἐπράττομεν. οὐχ ὡς ἱκανὴν οὖσαν τὴν Βοιωτῶν δύναμιν μεθ' ἡμῶν γενομένην κοινῇ πάντας ἀνθρώπους ἀμύνασθαι; νῦν δὲ [3]βουλευώμεθα, Βοιωτῶν εἰρήνην ποιουμένων, πῶς δυνατοὶ Λακεδαιμονίοις πολεμεῖν ἐσμὲν ἄνευ Βοιωτῶν. [4]ναί, φασί τινες, ἂν Κόρινθόν τε φυλάττωμεν καὶ συμμάχους ἔχωμεν Ἀργείους. ἰόντων δὲ Λακεδαιμονίων εἰς Ἄργος, πότερον βοηθήσομεν αὐτοῖς ἢ οὔ; πολλὴ γὰρ ἀνάγκη ὁπότερον τούτων ἑλέσθαι. μὴ βοηθούντων [5]μὲν οὖν

[1] Deest δι'. [2] πόλει; ταῦτα. [3] βουλευόμεθα [4] καὶ [5] Deest μέν.

Θαλάττης; ὅμως] Interponendum videtur ἡμεῖς. ut sit responsio ad præmissam interrogationem. Aut si expressis literis non additur, tacita saltim cogitatione est supplendum. Reisk.

Εἰρήνην πρεσβεύοντας ἥκειν] Pro postremo vocabulo malim στέργειν. dictio πρεσβεύειν εἰρήνην videtur h. l. significare *pacem per legationem conficere*, vel *perficere:* quamnam pacem si mittendis legationibus impetraverimus, oportebit nos sorte nostra contentos esse? Idem.

Εὑρομένους] Sic dedi de meo, pro vetusto εὑρομένοις. ob præmissum πρεσβεύοντας. Nonne oportebit nos acquiescere, si ea impetremus ab hostibus, quæ amici offerunt? Idem.

Οὐ ταῦτα παρὰ τῶν πολεμίων εὑρομένοις, ἅπερ οἱ φίλοι διδόασι κ. τ. λ.] Mihi visa est sententia postulare, ut scribatur εὑρόμεθα: *nonne ea ab hostibus impetravimus, quæ nobis amici concedunt, quorumque causa bellum susceptum est?* Sæpius indicativus et participium in MSS. permutantur: uti et apud Euripidem factum est in Troadibus v. 166. teste ad i. l. Musgravio. Sluiter.

Ὧν ἂν ἡμᾶς] F. ὧν νῦν ἡμᾶς. Reisk.

Προσκαλοῦνται] Num προκαλοῦνται? Idem.

Καὶ φασὶ] Malim ναὶ φ., *næ*. Idem.

Καὶ φασί τινες ἂν] Idem est, ac si integre dixisset: φασί τινες ἡμᾶς ἔσεσθαι δυνατοὺς τοῖς Λακεδαιμονίοις πολεμεῖν καὶ ἄνευ Βοιωτῶν, ἐὰν Κόρινθόν τε φυλάττωμεν. Idem.

ἡμῶν, οὐδὲ λόγος ὑπολείπεται μὴ οὐκ ἀδικεῖν Ἀργείους καὶ
ποιεῖν ὁποῖον ἄν τι βούλωνται δικαίως· βοηθούντων δὲ ἡμῶν
102 εἰς Ἄργος, οὐχ ἕτοιμον [1] μάχεσθαι Λακεδαιμονίοις; ἵνα
ἡμῖν τί γένηται; ἵνα ἡττώμενοι μὲν καὶ τὴν οἰκείαν χώ-
ραν ἀπολέσωμεν πρὸς τῇ Κορινθίων, νικήσαντες δὲ τὴν Κο-
ρινθίων Ἀργείων ποιήσωμεν. οὐχ ἕνεκα τούτων [2] πολεμή-
σωμεν; σκεψώμεθα δὴ καὶ τοὺς Ἀργείων λόγους. κελεύ-
ουσι γὰρ ἡμᾶς κοινῇ μετὰ σφῶν καὶ μετὰ Κορινθίων πολε-
μεῖν, αὐτοὶ δὲ ἰδίᾳ εἰρήνην ποιησάμενοι τὴν χώραν οὐ παρέ-
χουσιν ἐμπολεμεῖν. καὶ μετὰ μὲν πάντων τῶν συμμάχων τὴν
εἰρήνην [3] ποιουμένοις οὐκ ἐῶσιν ἡμᾶς οὐδὲν πιστεύειν Λακεδαι-
μονίοις· ἃ δὲ πρὸς τούτους μόνους ἐκεῖνοι συνέθεντο, ταῦτ᾽ οὐδε-
πώποτ᾽ αὐτούς φασι παραβῆναι. πατρίαν δὲ εἰρήνην ὀνομά-
ζοντες ᾗ χρῶνται, τοῖς δὲ ἄλλοις Ἕλλησιν οὐκ ἐῶσι πατρίαν
γενέσθαι τὴν εἰρήνην· ἐκ γὰρ τοῦ πολέμου χρονισθέντος Κό- 27.1.
ρινθον ἑλεῖν προσδοκῶσι, κρατήσαντες δὲ τούτων ὑφ᾽ ὧν ἀεὶ
κρατοῦνται, καὶ τοὺς [4] συννικῶντας ἐλπίζουσιν ἀποστή-
σεσθαι.
103 ϛʹ. Τοιούτων δ᾽ ἐλπίδων μετασχόντας ἡμᾶς δεῖ δυοῖν
θάτερον ἑλέσθαι, ἢ πολεμεῖν μετὰ Ἀργείων Λα-
κεδαιμονίοις, ἢ μετὰ Βοιωτῶν κοινῇ τὴν εἰρήνην ποι-
εῖσθαι. ἐγὼ μὲν οὖν ἐκεῖνο δέδοικα μάλιστα, ὦ Ἀθηναῖοι,
τὸ εἰθισμένον κακὸν, ὅτι τοὺς κρείττους φίλους ἀφιέντες

[1] μάχεσθαι πρὸς Λακεδαιμονίους [2] πολεμήσομεν [3] * ποιουμένους
[4] συνοικοῦντας

Ἀδικεῖν Ἀργείους] Subaudi ἡμᾶς. *ne hiscere quidem poterimus*, aut *infitias ire, ab Argivis nullam nobis fieri injuriam.* h. e. si quis aiat, ab Argivis nos lædentibus, contemtumque sui armis in nobis ulciscentibus, nil fieri contra jus et fas, non habebimus, quod obloquamur. Idem.

Καὶ ποιεῖν] Sub. τοὺς Ἀργείους ἡμᾶς. cohæret δικαίως cum ποιεῖν. Argivos recte facere si exempla vindictæ, quocunque modo velint, de nobis statuant. Idem.

Μὴ οὐκ ἀδικεῖν Ἀργείους, καὶ ποιεῖν ὁποῖον ἄν τι βούλωνται δικαίως] Sensit hujus loci difficultatem Reiskius, neque expedivit explicando et subaudiendo: quomodocumque exponas, semper te torquebis. Unum vero vocabulum si suo loco reposuerimus, plana, ut opinor, erunt omnia et aperta. Scribendum nempe: μὴ οὐκ ἀδικεῖν, καὶ ποιεῖν Ἀργείους ὁποῖον ἄν τι βούλωνται δικαίως. *nulla ratione dicere poterimus, nos injuriam non facere, illos vero non jure agere, quidquid velint.* Sluiter.

Οὐχ ἕτοιμον —] *Nonne paratum nobis est, et inevitabile, ut cum Lacedæmoniis in certamen congrediamur?* Reisk.

Ποιουμένους] Sic dedi de meo, pro vulgato ποιουμένοις. Possit quoque ποιούμενοι legi. Idem.

Ἐκεῖνοι] Argivi puta. Idem.

Αὐτοὺς] Lacedæmonios puta. Idem.

Ἧ χρῶνται] Aut ᾗ est delendum, aut potius insequens proximum δὲ, quod est in hoc versu secundum. Idem.

Καὶ τοὺς συνοικοῦντας ἐλπίζουσιν ἀποστήσεσθαι] Videtur sic leg. καὶ τοὺς συννικῶντας ἐλπίζουσι παραστήσεσθαι. *futurum sperant, ut victoriæ socios* (a quibus adjuti potuissent Lacedæmonios vincere) *in potestatem suam redigant.* Idem.

ἀεὶ τοὺς ἥττους αἱρούμεθα, καὶ πόλεμον ποιούμεθα δι᾽ ἑτέρους, ἐξὸν δι᾽ ἡμᾶς αὐτοὺς εἰρήνην ἄγειν· οἵτινες πρῶτον μὲν βασιλεῖ τῷ μεγάλῳ — χρὴ γὰρ ἀναμνησθέντας τὰ γεγενημένα καλῶς βουλεύσασθαι — σπονδὰς ποιησάμενοι καὶ συνθέμενοι φιλίαν εἰς τὸν ἅπαντα χρόνον, ἃ ἡμῖν ἐπρέσβευσεν Ἐπίλυκος Τισάνδρου, τῆς μητρὸς τῆς ἡμετέρας ἀδελφὸς, ταῦτα Ἀμόργῃ πειθόμενοι τῷ δούλῳ τοῦ βασιλέως καὶ φυγάδι, τὴν μὲν βασιλέως δύναμιν ἀπεβαλόμεθα, ὡς οὐδὲν οὖσαν ἀξίαν, τὴν δὲ Ἀμόργου φιλίαν εἱλόμεθα, κρείττω νομίσαντες εἶναι· ἀνθ᾽ ὧν βασιλεὺς ὀργισθεὶς ἡμῖν, σύμμαχος γενόμενος Λακεδαιμονίοις, παρέσχεν αὐτοῖς εἰς τὸν πόλεμον πεντακισχίλια τάλαντα, ἕως κατέλυσεν ἡμῶν τὴν δύναμιν. ἓν μὲν βούλευμα τοιοῦτον ἐβουλευσάμεθα· 104
Συρακούσιοι δ᾽ ὅτε ἦλθον ἡμῶν δεόμενοι, φιλότητα μὲν ἀντὶ διαφορᾶς ἐθέλοντες εἰρήνην δ᾽ ἀντὶ πολέμου ποιεῖσθαι, τήν τε συμμαχίαν ἀποδεικνύντες ὅσῳ κρείττων ἡ σφετέρα εἴη τῶν Ἐγεσταίων καὶ τῶν Καταναίων, [1] εἰ βουλοίμεθα πρὸς αὐτοὺς ποιεῖσθαι, ἡμεῖς [2] τοίνυν εἱλόμεθα καὶ τότε πόλεμον μὲν ἀντὶ εἰρήνης, Ἐγεσταίους δὲ ἀντὶ Συρακουσίων, στρατεύεσθαι δ᾽ εἰς Σικελίαν ἀντὶ τοῦ μένοντας οἴκοι συμμάχους ἔχειν Συρακουσίους· ἐξ ὧν πολλοὺς μὲν Ἀθηναίων ἀπολέσαντες ἀριστίνδην καὶ τῶν συμμάχων, πολλὰς δὲ ναῦς καὶ χρήματα καὶ δύναμιν ἀποβαλόντες, αἰσχρῶς διε-

[1] ἣν βουλώμεθα [2] Deest τοίνυν.

Ἐπίλυκος] Jam alibi, ni fallor, admonui hunc hominem non Epilycum, sed Epilytum, per τ, non per κ, fuisse dictum, ut Hippolytus. IDEM.

Ταῦτα] procul dubio deest hic aliquid. aut enim leg. videtur: ταῦτα ἀτιμάσαντες, Ἀμόργῃ — aut μετὰ ταῦτα Ἀμόργῃ —. IDEM.

Ταῦτα Ἀμόργῃ πειθόμενοι] Aut cum Reiskio legendum est μετὰ ταῦτα, aut εἶτα Ἀμόργῃ πειθόμενοι. SLUITER.

Οὐδὲν] Malim οὐδενός. REISK.

Κατέλυσεν] Malim κατέλυσαν, Lacedæmonii scil. IDEM.

Ἀνθ᾽ ὧν βασιλεὺς ὀργισθεὶς ἡμῖν — ἕως κατέλυσεν ἡμῶν τὴν δύναμιν] Num igitur Rex quinquies mille talenta quotannis dedit Lacedæmoniis, donec ipse potestatem Atheniensium everteret? Minime vero: sed stipendia iis præbuit, quibus belli onera facilius sustinerent: hæc autem pecunia, secundum rationes Andocidis, quinquies mille talentorum summam faciebat, qua Lacedæmonii adversus Athenienses usi sunt, cujusque ope potentiam eorum fregerunt, ipsamque urbem ceperunt, ac Triginta Tyrannis civitatem administrandam commiserunt. Hæc me ratio duxit ad suspicandum ἕως κατέλυσεν corruptum esse ex οἷς κατέλυσαν, atque ita rescribendum. De Amorge Pissuthni filio notho vide Thucydidem l. viii. c. 5. c. 29. fœdera cum Rege a Lacedæmoniis inita, ibid. c. 18. c. 37. et 58. SLUITER.

Εἴη τῶν] Malim τῆς interponi. REISK.

Βουλώμεθα] Malim in optativo βουλοίμεθα. IDEM.

Αἰσχρῶς διεκομίσθησαν οἱ σωθέντες αὐτῶν] Malim ἀνεκομίσθησαν, si in Codice aliquo inveniatur: mox pro ἐκτεῖναι τὸν θυμὸν scribendum potius videtur κινεῖν αὐτῶν τὸν θυμὸν, quam, quod Reiskius voluit, ἐκείνων vel ἐκείνοις κινεῖν τὸν θυμὸν, quia propius illud ad scripturam vulgatam acce-

κομίσθησαν οἱ σωθέντες αὐτῶν. ὕστερον δ' ὑπ' Ἀργείων ἐπείσθημεν, οἵπερ νῦν ἥκουσι πείθοντες πολεμεῖν, πλεύσαντες ἐπὶ τὴν Λακωνικὴν, εἰρήνης ἡμῖν οὔσης πρὸς Λακεδαιμονίους, ἐκτεῖναι τὸν θυμὸν, ἀρχὴν πολλῶν κακῶν· ἐξ οὗ πολεμήσαντες ἠναγκάσθημεν τὰ τείχη κατασκάπτειν καὶ
105 τὰς ναῦς παραδιδόναι καὶ τοὺς φεύγοντας καταδέχεσθαι. ταῦτα δὲ πασχόντων ἡμῶν, οἱ πείσαντες ἡμᾶς πολεμεῖν Ἀργεῖοι τίνα ὠφέλειαν παρέσχον ἡμῖν; τίνα δὲ κίνδυνον ὑπὲρ τῶν Ἀθηναίων ἐποιήσαντο; νῦν οὖν τοῦτο ὑπόλοιπόν ἐστιν ἡμῖν, πόλεμον μὲν ἑλέσθαι καὶ νῦν ἀντ' εἰρήνης, τὴν δὲ συμμαχίαν Ἀργείων ἀντὶ τῆς Βοιωτῶν, Κορινθίων δὲ τοὺς νῦν ἔχοντας τὴν πόλιν ἀντὶ Λακεδαιμονίων. μὴ δῆτα, ὦ Ἀθηναῖοι, μηδεὶς ἡμᾶς ταῦτα πείσῃ· τὰ γὰρ παραδείγματα τὰ γεγενημένα τῶν ἁμαρτημάτων ἱκανὰ τοῖς σώφροσι τῶν ἀνθρώπων ὥστε μηκέτι ἁμαρτάνειν.

ζ'. Εἰσὶ δέ τινες ὑμῶν, οἳ τοσαύτην ὑπερβολὴν τῆς ἐπιθυμίας ἔχουσιν, εἰρήνην ὡς τάχιστα γενέσθαι. φασὶ γὰρ καὶ τὰς τεσσαράκονθ' ἡμέρας, ἐν αἷς ἡμῖν ἔξεστι βουλεύεσθαι, περίεργον εἶναι, καὶ τοῦτο ἀδικεῖν ἡμᾶς· αὐτοκράτορας γὰρ πεμφθῆναι εἰς Λακεδαίμονα διὰ ταύτην, ἵνα μὴ πάλιν ἐπαναφέρωμεν. τήν τε ἀσφάλειαν ἡμῶν τῆς ἐπαναφορᾶς δέος ὀνομάζουσι, λέγοντες ὡς οὐδεὶς πώποτε

dit. Κινεῖν *excitandæ* iræ notionem recipit: Aristophanes Vespis v. 402.

Εἰπέ μοι, τί μέλλομεν κινεῖν ἐκείνην τὴν χολήν;

Avibus v. 1238.

Ὦ μῶρε, μῶρε, μὴ θεῶν κίνει φρένας Δεινάς.

Demosthenes in Midiam p. 537. ult. ed. Reisk. ταῦτα κινεῖ, ταῦτα ἐξίστησιν ἀνθρώπους αὐτῶν. Sluiter.

Ἐκτεῖναι τὸν θυμὸν] Non intelligo. neque succurrit nunc melius, quam hoc ἐκείνων (vel ἐκείνας) κινεῖν τὸν θυμόν. *illorum iracundiam irritare, provocare.* Reisk. Bene habet, ni fallor, vulgata, atque ἐκτείνειν τὸν θυμὸν significat, *incitare animum ad iracundiam*, plane ut ap. Xenoph. Cyropæd. l. v. c. 4. §. 5. ἐκτείνειν τὸν ἵππον, *incitare equum ad cursum.*

Τοὺς νῦν ἔχοντας τὴν πόλιν] Quasi eam paulo post non sint amplius habituri, sed ex ea exsulaturi. fuit cum suspicarer leg. τοὺς νῦν οὐδ' ἔχοντας τὴν πόλιν. *exsules, quibus ne patria quidem superest.* aut τοὺς νῦν ἔρημον ἔχ. τ. π. *qui nunc desertam et desolatam incolunt civitatem.* Reisk.

Κορινθίων δὲ τοὺς νῦν ἔχοντας τὴν πόλιν (ἑλέσθαι) ἀντὶ Λακεδαιμονίων] Ne quis Reiskii auctoritate, legentis τοὺς νῦν οὐδ' ἔχοντας, vel τοὺς νῦν ἔρημον ἔχοντας τὴν πόλιν, imponi sibi patiatur, monendum, Andocidem prudenter et callide ita dicere, non simpliciter τοὺς Κορινθίους. Erant enim Corinthi duæ factiones, quarum altera Atheniensibus, altera Lacedæmoniis favebat. Tempore habitæ hujus Orationis superiores quidem erant οἱ Ἀττικίζοντες: sed ostendit his verbis Andocides, incertam esse eorum amicitiam et infirmam; cum altera factio, a Lacedæmoniis adjuta, eos facile possit superare. Res eo tempore Corinthi gestas narrat Xenophon Hellen. l. iv. c. 4. et 5. Quomodo post Antalcidæ pacem iterum ad Lacedæmoniorum societatem se contulerit, vid. l. v. c. 1. §. 31. seqq. Sluiter.

Τοῦτο] scil. ὅτι βουλευόμεθα. injuste nos in eo agere, quod deliberemus. Reisk.

Διὰ ταύτην, ἵνα] Malim διὰ ταῦθ' ἵνα. Idem.

τὸν δῆμον τῶν Ἀθηναίων ἐκ τοῦ φανεροῦ πείσας ἔσω- 106
σεν, ἀλλὰ δεῖ λαθόντας ἢ ἐξαπατήσαντας αὐτὸν εὖ ποι-
ῆσαι. τὸν λόγον οὖν τοῦτον οὐκ ἐπαινῶ. φημὶ γὰρ, ὦ
Ἀθηναῖοι, πολέμου μὲν ὄντος ἄνδρα στρατηγὸν, τῇ πόλει
τε εὔνουν εἰδότα τε ὅ τι πράττοι, λανθάνοντα δεῖν τοὺς
πολλοὺς τῶν ἀνθρώπων καὶ ἐξαπατῶντα ἄγειν ἐπὶ τοὺς
κινδύνους, εἰρήνης δὲ πέρι πρεσβεύοντας κοινῆς τοῖς Ἕλλησιν,
ἐφ᾽ οἷς ὅρκοι τε ὀμοσθήσονται στῆλαί τε σταθήσονται γε-
γραμμέναι, ταῦτα δὲ οὔτε λαθεῖν οὔτε ἐξαπατῆσαι δεῖν,
ἀλλὰ πολὺ μᾶλλον ἐπαινεῖν ἢ ψέγειν, εἰ πεμφθέντες αὐ-
28.1 τοκράτορές [1] τι ἀποδώσομεν ὑμῖν περὶ [2] αὐτῶν σκέψασθαι.
βουλεύσασθαι μὲν οὖν ἀσφαλῶς χρὴ κατὰ δύναμιν, οἷς δ᾽
ἂν ὀμόσωμεν καὶ συνθώμεθα, τούτοις ἐμμένειν. οὐ γὰρ
μόνον, ὦ Ἀθηναῖοι, πρὸς γράμματα [3] τὰ γεγραμμένα δεῖ
βλέποντας πρεσβεύειν ἡμᾶς, ἀλλὰ καὶ πρὸς τοὺς τρόπους
τοὺς ὑμετέρους. ὑμεῖς γὰρ περὶ μὲν τῶν ἑτοίμων ὑμῖν ὑπο-
νοεῖν εἰώθατε καὶ δυσχεραίνειν, τὰ δ᾽ οὐκ ὄντα λογοποιεῖν
ὡς ἔστιν ὑμῖν ἕτοιμα· κἂν μὲν πολεμεῖν δέῃ, τῆς εἰρήνης
ἐπιθυμεῖτε, ἐὰν δέ τις ὑμῖν τὴν εἰρήνην πράττῃ, λογίζεσθε
τὸν πόλεμον ὅσα ἀγαθὰ ὑμῖν κατειργάσατο, ὅπου καὶ νῦν
ἤδη τινὲς λέγουσιν οὐ γινώσκειν τὰς διαλλαγὰς αἵτινές εἰ- 107
σιν, τείχη καὶ νῆες εἰ γενήσονται τῇ πόλει· τὰ γὰρ ἴδια
τὰ σφέτερ᾽ αὐτῶν ἐκ τῆς ὑπερορίας οὐκ ἀπολαμβάνειν,
ἀπὸ δὲ τῶν τειχῶν οὐκ εἶναι σφίσι τροφήν. ἀναγκαίως οὖν
ἔχει καὶ πρὸς ταῦτ᾽ ἀντειπεῖν.

η΄. Ἦν γάρ ποτε χρόνος, ὦ Ἀθηναῖοι, ὅτε τείχη καὶ
ναῦς οὐκ [4] ἐκτήμεθα· γενομένων δὲ τούτων, τὴν ἀρχὴν ἐποιη-
σάμεθα τῶν ἀγαθῶν. ὧν εἰ καὶ νῦν ἐπιθυμεῖτε, ταῦτα
[5] κατεργάσασθε. ταύτην δὲ λαβόντες ἀφορμὴν οἱ πατέρες

[1] τί [2] αὑτῶν [3] Deest τά. [4] ἐκτώμεθα [5] κατεργασώμεθα

Ἀλλὰ δεῖ λαθόντας κ. τ. λ.] Vere Valckenaerius legere videtur ἀλλὰ δεῖν. Sluiter.

Ἐφ᾽ οἷς—] Idem est ac si dixisset: ἃ ἔστι πράγματα, ἐφ᾽ οἷς—. Reisk.

Τί] Aut delendum videtur, aut cum ἔτι mutandum. Idem.

Δυσχεραίνειν] Scilicet ὅ τι ἐλάττω ἐστὶ τῆς ὑμετέρας προσδοκίας. Idem.

Οὐ γινώσκειν τὰς διαλλαγὰς αἵτινές εἰσιν] Id est, se non posse probare illa fœdera, neque intelligere, quod magnum bonum per illa concilietur reipublicæ, per quæ respublica mœnia condendi et classem navalem habendi facultatem adipiscatur. Idem.

Τὰ γὰρ ἴδια] Legendum existimabat Valckenaerius τὰ γὰρ χρέα, vel τὰ γὰρ δάνεια. — "Supra p. 25. v. 20. ed. Steph. dixerat τὰ ἐγκτήματα καὶ τὰ χρέα ἵνα ἀπολάβωμεν· Habebant scilicet Athenienses κτήματα ἐν τῇ ὑπερορίᾳ." Sluiter.

Ταῦτα] Naves et mœnia puta. Reisk.

ἡμῶν κατειργάσαντο τῇ πόλει δύναμιν τοσαύτην ὅσην οὔπω τις ἄλλη πόλις ἐκτήσατο, τὰ μὲν πείσαντες τοὺς Ἕλληνας, τὰ δὲ λαθόντες, τὰ δὲ πριάμενοι, τὰ δὲ βιασάμενοι· πείσαντες μὲν οὖν Ἀθήνησι ποιήσασθαι τῶν κοινῶν χρημάτων Ἑλληνοταμίας καὶ τὸν σύλλογον τῶν νεῶν παρ' ἡμῖν γενέσθαι, ὅσαι δὲ τῶν πόλεων τριήρεις μὴ κέκτηνται, ταύταις ἡμᾶς παρέχειν· λαθόντες δὲ Πελοποννησίους ἐτειχίσαμεν τὰ τείχη· πριάμενοι δὲ παρὰ Λακεδαιμονίων μὴ δοῦναι τούτων δίκην· βιασάμενοι δὲ τοὺς ἐναντίους τὴν ἀρχὴν τῶν Ἑλλήνων κατειργασάμεθα. καὶ ταῦτα τὰ ἀγαθὰ ἐν ὀγδοήκοντα καὶ πέντε ἡμῖν ἔτεσιν ἐγένετο. κρατηθέντες δὲ
108 τῷ πολέμῳ τά τε ἄλλα ἀπωλέσαμεν, καὶ τὰ τείχη καὶ τὰς ναῦς ἔλαβον ἡμῶν ἐνέχυρα Λακεδαιμόνιοι, τὰς μὲν παραλαβόντες, τὰ δὲ καθελόντες, ὅπως μὴ πάλιν ταῦτ' ἔχοντες ἀφορμὴν δύναμιν τῇ πόλει κατασκευάσαιμεν. πεισθέντες τοίνυν ὑφ' ἡμῶν Λακεδαιμόνιοι πάρεισι νυνὶ πρέσβεις αὐτοκράτορες, τά τε ἐνέχυρα ἡμῖν ἀποδιδόντες, καὶ τὰ τείχη καὶ ναῦς ἐῶντες κεκτῆσθαι, τὰς δὲ νήσους ἡμετέρας εἶναι. τὴν αὐτὴν τοίνυν ἀρχὴν ἀγαθῶν [1]λαμβάνοντας ἥνπερ ἡμῶν ἐλάμβανον οἱ πρόγονοι, ταύτην οὐκ ἀκτέον φασὶ τὴν εἰρήνην τινὲς εἶναι. παριόντες οὖν αὐτοὶ διδασκόντων ἡμᾶς — ἐξουσίαν δ' αὐτοῖς ἡμεῖς ἐποιήσαμεν, προσθέντες τετταράκοντα ἡμέρας βουλεύσασθαι —, τοῦτο μὲν τῶν γεγραμμένων εἴ τι τυγχάνει μὴ καλῶς ἔχον· ἔξεστι γὰρ ἀφελεῖν· τοῦτο

[1] λαμβάνοντες

Ἑλληνοταμίας] Citat ex h. l. Harpocration in v. SLUITER.

Ἐν ὀγδοήκοντα καὶ πέντε ἔτεσιν] Exacte computat: nam a pugna Marathonia, quæ facta est Phænippo Archonte, usque ad pugnam navalem in Ægospotamis, quæ finem imposuit potentiæ Atheniensium, et evenit, Alexia Archonte, intercedunt anni LXXXV. PALMER.

Ἐν ὀγδοήκοντα καὶ πέντε ἡμῖν ἔτεσιν ἐγένοντο] Notandum tot annos elapsos esse a victoria Marathonia ad captas a Lysandro Athenas. SLUITER.

Τὰς μὲν] Scil. ναῦς. τὰς in fœminino de meo dedi, pro vulgato τά. REISK.

Τὰ δὲ] Scil. τείχη. IDEM.

Ταύτην] Aut delendum videtur, aut cum ἐπὶ ταύτῃ mutandum. negant pacem a nobis esse tuendam ea lege atque conditione, ut illam bonorum quasi materiam aut matricem teneamus. IDEM.

Ἀκτέον] Si accipiatur pro νομιστέον vel ἡγητέον, vel οἰητέον, *putandum, existimandum*, bene habebit vulgata lectio. *hanc pacem non esse pro pace habendam.* IDEM.

Παριόντες οὖν αὐτοὶ διδασκόντων ἡμᾶς, ἐξουσίαν δ' αὐτοῖς ἡμεῖς ἐποιήσαμεν] Posterius ἡμεῖς satis indicat priore loco ὑμᾶς esse scribendum. SLUITER.

Προσθέντες] Malim extrito e prima syllaba sibilo, προθέντες. REISK.

(Ἔξεστι γὰρ ἀφελεῖν)] Sic placuit Stephano interpungere. nam Aldina h. l. signis parentheseos caret. Ego malim sic distingui. (ἔξεστι γὰρ) ἀφελεῖν. ut infinitivus locum et vim obtineat imperativi, ἀφελεῖν pro ἀφαιρείτω. aut aptus est ex ἐξουσίαν ἐποιήσαμεν, *facultatem ipsis fecimus demendi.* Stephanus διδασκόντων copulabat cum εἴ τι τυγχάνει μ. κ. ἔχον. IDEM.

δ᾽ εἴ τις προσθεῖναι βούλεται, πείσας ὑμᾶς προσγραψάτω. 109
πᾶσί τε τοῖς γεγραμμένοις χρωμένοις ἔστιν εἰρήνην ἄγειν. εἰ δὲ μηδὲν [1] ἀρέσκει τούτων, πολεμεῖν ἕτοιμον. καὶ ταῦτ᾽ ἐφ᾽ ὑμῖν [2] πάντ᾽ ἐστὶν, ὦ Ἀθηναῖοι· τούτων ὅ τι ἂν βούλησθε ἕλεσθε. πάρεισι μὲν γὰρ Ἀργεῖοι καὶ Κορίνθιοι διδάξοντες ὡς ἄμεινόν ἐστι πολεμεῖν, ἥκουσι δὲ Λακεδαιμόνιοι πείσοντες ὑμᾶς εἰρήνην ποιήσασθαι. τούτων δ᾽ ἔστι τὸ τέλος παρ᾽ ὑμῖν, ἀλλ᾽ οὐκ ἐν Λακεδαιμονίοις, δι᾽ [3] ἡμᾶς. πρεσβευτὰς οὖν πάντας ὑμᾶς ἡμεῖς οἱ πρέσβεις ποιοῦμεν· ὁ γὰρ τὴν χεῖρα μέλλων ὑμῶν αἴρειν, οὗτος ὁ πρεσβεύων ἐστὶν, ὁπότερ᾽ ἂν αὐτῷ δοκῇ, καὶ τὴν εἰρήνην καὶ τὸν πόλεμον [4] ποιεῖν. μέμνησθε μὲν οὖν, ὦ Ἀθηναῖοι, τοὺς ἡμετέρους λόγους, ψηφίσασθε δὲ [5] τοιαῦτα ἐξ ὧν ὑμῖν μηδέποτε μεταμελήσει.

[1] ἀρέσκοι [2] πᾶσιν [3] ὑμᾶς [4] ποιῶν [5] ταῦτα

Εἴ τις προσθεῖναι βούλεται] Videtur pronomen τι inserendum esse ante verbum βούλεται. SLUITER.

Πᾶσί τε τοῖς γεγραμμένοις] Sententia postulat: πᾶσι μὲν γὰρ τοῖς γεγρ. REISK.

Διδάξαντες] Π. διδάξοντες. H. STEPHAN.

Ποιήσασθαι] Sic tacite correxit Stephanus Aldinæ ποιήσεσθαι. REISK.

Δι᾽ ὑμᾶς] Malim δι᾽ ἡμᾶς, *non penes Lacedæmonios propter nos*. h. e. non ii sumus, qui pacem Lacedæmoniis a vobis impetremus, et vel invitis vobis extorqueamus. IDEM.

Ποιῶν] Malim abesse. turbat sententiam. πρεσβεύειν εἰρήνην et πόλεμον est, *legatione* (vel *fungendo muniis legati*) *pacem bellumve conciliare*. IDEM.

ΑΝΔΟΚΙΔΟΥ

ΚΑΤΑ ΑΛΚΙΒΙΑΔΟΥ

ΛΟΓΟΣ.

I. OTT. SLUITERI

PRÆFATIO

AD ORATIONEM ANDOCIDIS

CONTRA ALCIBIADEM.

De auctore hujus, ad quam accedimus, Orationis, elegantia et ubertate sermonis præstantissimæ, post Valckenaerianam disputationem, Primo harum Lectionum Capiti adjectam [p. 188, sqq.], quidquam addere, neque necesse est, neque me decet. Unum est, quod in ipsa hac disputatione animadversum moneam, ne quis, tanti viri auctoritate deceptus, in aliquem se errorem trahi patiatur. "Mirum est (V^to^ loco dicit Valckenaerius), si hanc ut Phæacis legerit Orationem Plutarchus, nihil inde, quod ad Alcibiadem spectet, eum excerpsisse, præter illud perpusillum sane. Multa ibi habentur Historica vitæ Alcibiadis, quæ Plutarchus attigisset, si cognita habuisset." Hæc quidem aliquanto inconsideratius a viro summo (sed sibi soli) scripta mihi videntur. Sæpe enim mihi ac diligenter Vitam Alcibiadis Plutarcheam relegenti apparuit, complura ipsum ex Andocide hausisse, ea etiam, quæ haud scio an a nullo alio scriptore, qui quidem hodieque supersit, prodita inveniamus. Quod ne quis temere a me dictum existimet, exemplis nonnullis confirmare non alienum duco.

Quæ narrat Plutarchus p. 195. B. C. de uxore Alcibiadis Hippareta hujusque patre Hipponico et fratre Callia ab Alcibiade male habitis, quanquam in nonnullis ab iis, quæ refert Andocides p. 30. et seq. ed. Steph., discrepantia, ita tamen aliis partibus et rebus et verbis ipsis cum Andocideis congruunt, ut vix negare possis, hunc eum ob oculos habuisse; quod, quicumque hunc cum illo contulerit, facile viderit. Deinde illa etiam, quæ brevius p. 199. B. a Plutarcho relata reperimus, de Pictore Agatharcho, quem Alcibiades coegit domum suam pictura ornare, de Taurea illi ἀντιχωρηγοῦντι, de serva Melia ab Alcibiade compressa, quum latius et Oratorum more magis exaggerata ab Andocide prodita inveniamus, p. 31. v. 14. seqq. et p. 32. v. 5. seqq. ed. Steph. ex hoc excerpta non dicamus? Bigas Diomedi abstulit, quibus is ad Olympicum certamen uti vo-

lebat, iisque ipse in illo certamine usus est Alcibiades. Id parum diversa ratione Andocides p. 32. v. 27. ed. Steph. Plutarchus p. 196. c. et d. memoriæ prodiderunt. Quanto autem vel in honore vel timori fuerit sociis civitatibus, liquet ex donis, quæ ipsi Elin eunti præbuerunt, quæ eadem recensent Andocides p. 33. v. 8. ed. Steph. Plutarchus p. 196. c. Hæc qui videat, et Oratorem cum Biographo comparet, vel opinetur necesse est, lectam a Plutarcho fuisse Andocidis Orationem, vel, si id minus probet, in eam incidat cogitationem, hic item Rhetoris fraudem latere, qui sua ex eodem, quo Plutarchus, horreo deprompserit.

ΑΝΔΟΚΙΔΟΥ

ΚΑΤΑ ΑΛΚΙΒΙΑΔΟΥ

ΛΟΓΟΣ.

Pag. ed. H.Steph.

Pag. ed. Reisk.

ΥΠΟΘΕΣΙΣ.

110 Ἀνδοκίδης Ἀλκιβιάδου κατηγορεῖ τοῦ Κλεινίου ὡς καὶ τὰ τῆς πόλεως καὶ τὰ τῶν συμμάχων διαφθείραντος, καὶ κατὰ τὸν ἴδιον βίον πλεῖστα ἡμαρτηκότος· τοῦ δὲ δήμου βουλευομένου καὶ αὐτὸν ἐξοστρακίσαι τὸν Ἀνδοκίδην, πρῶτον παραγράφεται, λέγων ἤδη ἀπολελογῆσθαι καὶ ἀνεύθυνος εἶναι. [1]εἴρηται μὲν γὰρ πολλάκις ὅτι δεῖ τὸν τοῖς αὐτοῖς ἐγκλήμασι δοκοῦντα ἐνέχεσθαι πρῶτον ἑαυτὸν ἐλευθεροῦν, εἶτα διαβάλλειν. τὴν δὲ στάσιν οἱ μὲν φασὶν ὁρικὴν εἶναι, οἱ δὲ πραγματικήν. ἠκριβωμένη δὲ ἡ στάσις κατὰ μὲν τὴν ἀρχὴν μετάληψίς ἐστι — παραγράφεται γὰρ —, ἐν δὲ τοῖς ὑστέροις πραγματική· δίκαιον γάρ φησι καὶ συμφέρον ἐξοστρακισθῆναι Ἀλκιβιάδην.

29 ά. ΟΥΚ ἐν τῷ παρόντι μόνον γινώσκω τῶν πολιτικῶν 111
πραγμάτων ὡς σφαλερόν ἐστιν ἅπτεσθαι, ἀλλὰ καὶ πρότερον χαλεπὸν ἡγούμην, πρὶν τῶν κοινῶν ἐπιμελεῖσθαί τινος. πολίτου δὲ ἀγαθοῦ νομίζω προκινδυνεύειν ἐθέλειν τοῦ πλήθους, καὶ μὴ καταδείσαντα τὰς ἔχθρας τὰς ἰδίας ὑπὲρ τῶν δημοσίων ἔχειν ἡσυχίαν· διὰ μὲν γὰρ τοὺς τῶν ἰδίων ἐπιμελουμένους οὐδὲν αἱ πόλεις μείζους καθίστανται, διὰ δὲ τοὺς τῶν κοινῶν μεγάλαι καὶ ἐλεύθεραι γίγνονται. ὧν [[2]τῶν ἀγαθῶν] εἷς ἐγὼ βουληθεὶς ἐξετάζεσθαι μεγίστοις

[1] εἴρηκε   [2] Absunt unci.

ΛΟΓΟΣ] Oratio hæc, si Taylor credimus, Andocidis non est, sed Phæacis. v. Lect. Lysiac. caput sextum. Reisk.

ΥΠΟΘΕΣΙΣ] Addit editio prima τοῦ ἑξῆς. Taylor.

Ἐξοστρακίσαι] Ostracismi origo et modus Diod. Sic. l. xxv. 270. Nonnulla Plut. in Alcib. Aristid. et Themistocle. Aristid. or. Platon. Poll. Aristoph. Sch. in Equit. et Vesp. Tzetz. Chil. xiii. 489. Hesych. Suid. Vbb. Emm. Vet. Gr. Iun. Anim. v. 18. Scalig. ad Euseb. Maussac. ad Harpocr. Meurs. Att. Lect. v. 18. Diod. l. xi. p. 287. tempus durationis hujusce pœnæ notat Plutarch. in Pericle, ubi occurrit tamen difficultas non levis amolienda. v. Harpocr. in v. Ἵππαρχος. Tull. de orat. 2. §. 56. Poll. 8. 5. 19. viri docti ad loc. Idem.

Εἴρηκε] Εἴρηται margo editionis primæ manu antiqua. Idem.

Εἴρηκε μὲν γὰρ —] Fort. leg. εἰρήκαμεν γὰρ πολλάκις, ὅτι ἔδει. Sic grammatici loquuntur, ablegantes lectores ad observata jam alibi a se tradita. Reisk.

Ὧν τῶν ἀγαθῶν εἷς] Secundum et tertium vocabulum videntur delenda, ut e scholio nata. Super ὧν nescio qui τῶν ἀγαθῶν πολιτῶν superscripsit, explicationis ergo, quod deinde in textum irrepsit. Admodum enim mihi quidem durum accidit: ὧν τῶν ἀγαθῶν εἷς pro ἧς τῶν ἀγα-

περιπέπτωκα κινδύνοις, προθύμων [1] μὲν καὶ ἀγαθῶν ἀν-
δρῶν ὑμῶν τυγχάνων, [2] διόπερ σώζομαι, πλείστοις δὲ καὶ
δεινοτάτοις ἐχθροῖς χρώμενος, ὑφ᾽ ὧν διαβάλλομαι. ὁ μὲν
οὖν ἀγὼν ὁ παρὼν οὐ στεφανηφόρος, ἀλλ᾽ εἰ χρὴ μηδὲν ἀδι-
112 κήσαντα τὴν πόλιν δέκα ἔτη φεύγειν· οἱ δ᾽ ἀνταγωνιζόμενοι
περὶ τῶν ἄθλων τούτων ἐσμὲν ἐγὼ καὶ Ἀλκιβιάδης καὶ
Νικίας, ὧν ἀναγκαῖον ἕνα τῇ συμφορᾷ περιπεσεῖν.

β΄. Ἄξιον δὲ μέμψασθαι τὸν θέντα τὸν νόμον, ὃς ἐναντία
τῷ ὅρκῳ τοῦ δήμου καὶ τῆς βουλῆς ἐνομοθέτησεν· ἐκεῖ [3] μὲν
γὰρ ὄμνυτε μηδένα μήτε [4] ἐξελᾶν μήτε δήσειν μήτε ἀποκτε-
νεῖν ἄκριτον, ἐν δὲ τῷδε τῷ καιρῷ, οὔτε κατηγορίας γενο-
μένης οὔτε ἀπολογίας ἀποδοθείσης οὔτε διαψηφισαμένων
κρύβδην, τὸν ὀστρακισθέντα τοσοῦτον χρόνον δεῖ στερηθῆναι
τῆς πόλεως. εἶτα ἐν τοῖς τοιούτοις οἱ τοὺς ἑταίρους καὶ συν-
ωμότας κεκτημένοι πλέον φέρονται τῶν ἄλλων· οὐ γὰρ ὥσπερ
ἐν τοῖς δικαστηρίοις οἱ λαχόντες κρίνουσιν, ἀλλὰ τούτου τοῦ
πράγματος ἅπασιν Ἀθηναίοις μέτεστι. πρὸς δὲ τούτοις τῷ
μὲν ἐλλείπειν, τῷ δ᾽ ὑπερβάλλειν, ὁ νόμος μοι δοκεῖ· τῶν
μὲν γὰρ ἰδίων ἀδικημάτων μεγάλην τιμωρίαν ταύτην νομίζω,
τῶν δὲ δημοσίων μικρὰν καὶ οὐδενὸς ἀξίαν ἡγοῦμαι ζημίαν,
ἐξὸν κολάζειν χρήμασι καὶ δεσμῷ καὶ θανάτῳ. ἔτι δ᾽ εἴ τις
διὰ τοῦτο μεθίσταται ὅτι πολίτης ἐστὶν, οὗτος οὐδ᾽ ἀπελ-
113 θὼν ἐνθένδε παύσεται, ἀλλ᾽ ὅπου ἂν οἰκῇ, ταύτην τὴν πόλιν

[1] μὲν] δὲ [2] δι᾽ ὅπερ [3] Deest μέν. [4] ἐξελεῖν

θῶν πολιτῶν τάξεως εἴς. *qua in classe bonorum civium ut ego quoque numerarer, efficere quod studerem, ideo* —. Idem. Ante Reiskium verba τῶν ἀγαθῶν ab alio adscripta censuerat Valckenaerius. Sluiter.

Προθύμων δὲ —] Π. προθύμων μὲν καὶ ἀγ. ἀνδρ. ὑ. τ. δι᾽ ὅπερ σ. H. Stephan. μὲν annotat. in Marg. Taylor. δὲ, quod Stephanus cum μὲν commutatum ibat, bene habet. sed versu 2. dubito an leg. sit: τυγχάνων, οὐ δέδια, εὖ εἰδὼς, ὅτι περισωθήσομαι. *nil timeo, quia sum certus, fore ut salvus abeam*. de hoc sum certior, pro δὲ eodem versu 2. leg. esse τε, per tau. πλείστοις τε καὶ δεινοτάτοις. Reisk.

Ἐκεῖ γὰρ] H. e. ὀμνύντες τόν τε τοῦ δήμου ὅρκον, καὶ τὸν τῆς βουλῆς. Idem.

Ἀποκτείνειν] Π. ἀποκτενεῖν. H. Stephan. ἀποκτενεῖν, m. a. [manus antiqua, aut margo Aldinæ. *Reisk.*] Taylor.

Οὔτε ἀπολογίας ἀποδοθείσης] Dictionem ἀποδιδόναι ἀπολογίαν alibi me videre non memini, neque illa notat, *dare depulsionis facultatem* sed *reddere ademtam*. Contra διδόναι ἀπολογίαν illa notione est apud scriptores Atticos, maxime Oratores, frequentissimum; huic item loco, ut opinor, ita reddendum, οὔτε ἀπολογίας δοθείσης. Repetiit nempe librarius præpositionem ἀπο e præcedenti ἀπολογίας, qui est in veterum libris innumerabilium fons mendorum. Sluiter.

Ὅτι πολίτης] Interponendum videtur κακὸς, in quo vis omnis est argumenti. Reisk.

Ἐνθένδε] Revocavi bonam hanc lectionem ex Aldina, cui, nescio quo errore casuve, suffectum est in Stephanico ἐνθάδε. Cohæret ἐνθένδε cum ἀπελθών: malus civis, qui hinc, Athenis, discesserit, nunquam desinet malus esse. Idem.

Ταύτην τὴν πόλιν] Illam incerti nominis, quæcunque tandem est civitas, quæ

διαφθερεῖ, καὶ τῇδε οὐδὲν ἧττον ἐπιβουλεύσει, ἀλλὰ καὶ μᾶλλον δικαιότερον ἢ πρὶν ἐκβληθῆναι. οἶμαι δὲ καὶ τοὺς φίλους ὑμῶν ἐν ταύτῃ μάλιστα τῇ ἡμέρᾳ λυπεῖσθαι καὶ τοὺς ἐχθροὺς ἥδεσθαι, συνειδότας ὡς, ἂν ἀγνοήσαντες ἐξελάσητε τὸν βέλτιστον, δέκα ἐτῶν ἡ πόλις οὐδὲν ἀγαθὸν ἀπὸ τούτου τοῦ ἀνδρὸς πείσεται. ῥᾴδιον δὲ [1] καὶ ἐντεῦθεν γνῶναι τὸν νόμον πονηρὸν ὄντα· μόνοι γὰρ αὐτῷ τῶν Ἑλλήνων χρώμεθα, καὶ οὐδεμία τῶν ἄλλων πόλεων ἐθέλει μιμήσασθαι. καίτοι ταῦτα [2] διέγνωσται ἄριστα τῶν δογμάτων, ἃ καὶ τοῖς πολλοῖς καὶ τοῖς ὀλίγοις ἁρμόττοντα μάλιστα τυγχάνει καὶ πλείστους ἐπιθυμητὰς ἔχει.

γʹ. Περὶ μὲν οὖν τούτων οὐκ οἶδ᾽ ὅτι δεῖ μακρότερον λέγειν πάντως· οὐδὲν γὰρ ἂν πλεῖον εἰς τὸ παρὸν [3] ποιήσαιμεν· 114
δέομαι δ᾽ ὑμῶν τῶν λόγων ἴσους καὶ κοινοὺς ἡμῖν ἐπιστάτας

[1] Deest καί. [2] διέγνωται [3] ποιήσωμεν

malum hunc civem recipiat. Idem.

Τῇδε] *Huic nostræ*, Athenis puta, nil minus insidiabitur expulsus, quam insidiatus est, antequam expelleretur. Idem.

Μᾶλλον δικαιότερον] Interponi velim καί. *sed et acrius, et majori cum jure.* Idem.

Ἀλλὰ καὶ μᾶλλον δικαιότερον ἢ πρὶν ἐκβληθῆναι] Necessaria mihi non videtur Reiskii mutatio, καὶ μᾶλλον καὶ δικαιότερον, quamquam non inepte excogitata: sæpissime enim μᾶλλον comparativo jungitur. Infra p. 337. v. antep. ἐξ αὐτῶν δὲ τούτων ἀποδείξω αὐτὸν ἐπιτηδειότερον τεθνάναι μᾶλλον ἢ σώζεσθαι: ubi male Reiskius superlativum ἐπιτηδειότατον substitui vult. Aristophanes in Vespis v. 477.

Νὴ Δί᾽ ἦ μοι κρεῖττον ἐκστῆναι τοπαράπαν τοῦ πατρὸς
Μᾶλλον ἢ κακοῖς τοσούτοις ναυμαχεῖν ὁσήμεραι.

Ecclesiazusis v. 1123.

Τίς γὰρ γένοιτ᾽ ἂν μᾶλλον ὀλβιώτερος;

Isocrates Archidamo p. 138. B. πολὺ γὰρ μᾶλλον κρεῖττον cæt.: de Permut. p. 317. C. πολὺ ἂν μᾶλλον δικαιότερον ἐπιεικὴς εἶναι δοκοίην, ἢ ζημιωθείην. Sluiter.

Ῥᾴδιον δὲ ἐντεῦθεν] Postremo vocabulo præponendum videtur καί. Reisk.

Διέγνωται] Διέγνωσται exaravit Scaliger. Idem.

Καὶ πλείστους ἐπιθυμητὰς ἔχει] Vir Doctus in margine Aldinæ pro ἐπιθυμητὰς adscripserat ἔτι μιμητάς: quod sive e Codice MS. sive ex illius ingenio fluxerit, mihi quidem vulgata lectione proba et germana deterius videtur. Nam, si illud verum esset, scribi oportuerat ἔτι δὲ καὶ πλείστους μιμητὰς ἔχει. Et magis etiam indoli Linguæ Græcæ convenit νόμον dici ἐπιθυμητὰς ἔχειν, quam μιμητάς. Dicitur quidem paullo ante οὐδεμία τῶν ἄλλων πόλεων ἐθέλει μιμήσασθαι (quod ipsum in errorem induxit mutationis auctorem); sed intelligendum est ἡμᾶς, non τὸν νόμον μιμήσασθαι. Latius tamen hoc ab Oratore extenditur. Nam et Petalismus Syracusanorum Ostracismo Atheniensium fuit simillimus, et alias Græcas civitates exemplo Atheniensium similibus institutis usos, docuit I. A. Paradys in Dissertatione, quam Præside Io. Luzacio, Viro Clar. publice defendit, de Ostracismo Atheniensium c. I. §. 5. — In iis, quæ mox sequuntur, interpunctionem eadem, qua Reiskius, ratione mutavit Valckenaerius, scribens: — λέγειν. πάντως οὐδὲν γὰρ ἂν πλεῖον ποιήσωμεν. Sluiter.

Λέγειν πάντως. οὐδὲν γὰρ ἂν πλεῖον] Videtur locus sic distinguendus et corrigendus esse: λέγειν. πάντως γὰρ οὐδὲν ἂν πλ. *nihil enim profecto ad rem præsentem multitudine verborum hoc de loco profecerimus.* Reisk.

Ποιήσωμεν] Ποιήσαιμεν, m. a. Taylor.

Δέομαι δ᾽ ὑμῶν—καὶ πάντας ἄρχοντας περὶ τούτου καταστῆναι] In interpretatione loci difficillimi, in quo nihil se cernere dicit Reiskius, in quo me non minus cœcutiisse lubens fateor, jam aliis lumen lucere faciam, quod mihi de suo lumine accendit Luzacius. Monuit me nimirum Vir Clar. esse hunc locum ex Atticæ concionis et

γενέσθαι, καὶ πάντας ἄρχοντας περὶ τούτων καταστῆναι,
καὶ μήτε τοῖς λοιδορουμένοις μήτε τοῖς ὑπὲρ καιρὸν χαριζο- 30. 1
μένοις ἐπιτρέπειν, ἀλλὰ τῷ μὲν θέλοντι λέγειν καὶ ἀκούειν εὐμενεῖς εἶναι, τῷ δὲ ἀσελγαίνοντι καὶ θορυβοῦντι χαλεπούς. ἀκούσαντες γὰρ [1] ἑκάστου τῶν ὑπαρχόντων ἄμεινον βουλεύσεσθε περὶ ἡμῶν.

δ'. Ἔστι δὲ περὶ τῆς μισοδημίας καὶ τῆς στασιωτείας βραχύς μοι λόγος καταλελειμμένος. εἰ μὲν γὰρ ἄκριτος ἦν, εἰκότως ἂν τῶν κατηγορούντων ἠκροᾶσθε καὶ ἐμοὶ ἀναγκαῖον
115 ἦν ἀπολογεῖσθαι περὶ τούτων· ἐπειδὴ δὲ τετράκις ἀγωνιζό-
μενος ἀπέφυγον, οὐκ ἔτι δίκαιον ἡγοῦμαι λόγον οὐδένα περὶ τούτου γίνεσθαι. πρὶν μὲν γὰρ κριθῆναι οὐ ῥᾴδιον ἦν εἰδέναι τὰς αἰτίας, οὔτ' εἰ ψευδεῖς εἰσὶν οὔτ' εἰ ἀληθεῖς· ἀποφυγόντος δὲ ἢ καταγνωσθέντος τέλος ἔχει καὶ διώρισται τού-

[1] ἕκαστον

judiciorum ratione explicandam. Duplicis enim generis judicia publica fuisse apud Athenienses, vel coram Tribunalibus, vel apud Populum. Quæ a Tribunalibus exercerentur, in illis Regem sacrorum fuisse εἰσαγωγέα, si res ad Areopagum pertineret; Polemarchum, si peregrinus, vel inquilinus, aut servus in judicium vocaretur; Archontem Eponymum, si alia res esset privilegiata; Thesmothetarum unum in reliquis causis criminum. Hos Archontas, in suo quemque causarum genere, judicii fuisse moderatores, eodem fere modo, quo apud Anglos duodecim Magni Judices moderatores sunt judiciorum, quæ a Paribus juratis habentur. Hæc quidem ita fuisse, si causa in aliquo τῶν δικαστηρίων cognosceretur. Sin publica ad Populum accusatio ferretur, vel fortasse etiam ad magnum et populare Heliastarum δικαστήριον, Ἐπιστάτην cum Prytanibus, Senatus Quingentorum nomine, solitos εἰσαγαγεῖν τὴν δίκην. At vero, quum populus de Ostracismo suffragia ferret, judicium non fuisse: neque enim propter delictum Ostracismum fuisse decretum, sed propter metum potentiæ, nec fuisse *pœnam*, sed *cautionem* publicæ securitatis causa, ne civitas turbis civilibus vexaretur. Igitur concioni, de Ostracismo testulas ferenti, moderatores affuisse novem Archontas simul et Senatum cum suo Præside, sive Epistata, auctore Scholiaste ad Aristophanis Equites v. 851. Itaque locum sic interpretatur: *Precor vos et obtestor, ut Orationum, quæ ad vos hodie habentur, æqui et communes omnibus et extra partes positi arbitri sitis; utque vos omnes in illis dijudicandis Magistratuum ac Moderatorum vice fungamini, sic ut nemo sit vestrum, qui hic sancta Epistatæ atque Archontum munera, tanquam si ipse iis ornatus esset, sese implere non existimet.* Alludere Andocidem ad officia Epistatæ atque Archontum, qui concionem moderabantur, et optare ut unusquisque civium hic se Epistatam atque Archonta, sine studio hujus vel illius, præstet. Sluiter.

Πάντας ἄρχοντας] Nihil hic cerno. [minimo motu videtur hic locus sanari posse hoc pacto, si post ἄρχοντας addatur καί. ut sententia sit hæc: δέομαι ὑμῶν, καὶ περὶ τούτων ἄρχοντας ὑμᾶς καταστῆναι, ὥσπερ καὶ τῶν ἄλλων ἄρχοντες κατέστητε. hoc equidem in Latinis expressi, cum melius nihil occurreret. *In Cur. poster. ad Andocid.*] Reisk.

Θέλοντι λέγειν καὶ ἀκούειν εὐμενεῖς εἶναι] Cohæret λέγειν cum θέλοντι, ut ἀκούειν cum εὐμενεῖς. *ut ei, qui decenter dicere velit, ad audiendum commodi propitiique sitis.* Videtur enim post λέγειν deesse κοσμίως vel ἐν τάξει. Idem.

Ἕκαστον τῶν ὑπαρχόντων] Malim περὶ ἑκάστου τῶν ὑπαρχόντων. *de unoquoque in medio propositorum.* Appellat ὑπάρχοντα, criminationes in reorum quemque conjectas. Idem.

Περὶ τῆς μισοδημίας] Apparet ex hoc loco, causæ hujus actorem incusatum fuisse odii erga populum et factiositatis. Idem.

των ὁπότερόν ἐστιν. ὥστε δεινὸν νομίζω τοὺς μὲν ἁλόντας μιᾷ ψήφῳ μόνον ἀποθνήσκειν καὶ τὰ χρήματα [1] δημεύεσθαι αὐτῶν, τοὺς δὲ νικήσαντας πάλιν τὰς αὐτὰς κατηγορίας ὑπομένειν, καὶ τοὺς δικαστὰς ἀπολέσαι μὲν κυρίους εἶναι, σῶσαι δ' ἀκύρους καὶ ἀτελεῖς φαίνεσθαι, ἄλλως τε καὶ τῶν νόμων ἀπαγορευόντων δὶς περὶ τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μὴ ἐξεῖναι δικάζεσθαι, καὶ ὑμῶν ὀμωμοκότων χρῆσθαι τοῖς νόμοις.

έ. Ὧν ἕνεκα περὶ ἐμαυτοῦ παραλιπὼν Ἀλκιβιάδου τὸν βίον ἀναμνῆσαι βούλομαι. καίτοι ἀπορῶ γε διὰ τὸ πλῆθος τῶν ἁμαρτημάτων πόθεν ἄρξομαι, ἐμποδὼν ἁπάντων ὄντων. περὶ μὲν οὖν μοιχείας καὶ γυναικῶν ἀλλοτρίων ἁρπαγῆς καὶ τῆς ἄλλης βιαιότητος καὶ παρανομίας καθ' ἕκαστον εἰ δεήσει λέγειν, οὐκ ἂν ἐξαρκέσειεν ὁ παρὼν χρόνος, ἅμα 116
δὲ καὶ πολλοῖς ἀπεχθοίμην τῶν πολιτῶν, φανερὰς τὰς συμφορὰς ποιῶν αὐτῶν· ἃ δὲ περὶ τὴν πόλιν εἴργασται καὶ τοὺς προσήκοντας καὶ τῶν ἄλλων ἀστῶν καὶ ξένων τοὺς ἐντυγχάνοντας, ἀποδείξω. πρῶτον μὲν οὖν πείσας ὑμᾶς τὸν φόρον ταῖς πόλεσιν ἐξ ἀρχῆς τάξαι τὸν ὑπ' Ἀριστείδου πάντων δικαιότατα τεταγμένον, αἱρεθεὶς ἐπὶ τούτῳ δέκατος αὐτὸς μάλιστα διπλάσιον αὐτὸν ἑκάστῳ τῶν συμμάχων ἐποίησεν, ἐπιδείξας δ' αὑτὸν φοβερὸν καὶ μέγα δυνάμενον ἰδίας ἀπὸ τῶν κοινῶν προσόδους κατεσκευάσατο. σκέψασθε δὲ, πῶς ἄν τις κακὰ μείζω τούτων κατασκευάσειεν, εἰ τῆς σωτηρίας ἡμῖν πάσης διὰ τῶν συμμάχων οὔσης ὁμολογουμένως, νῦν κάκιον ἢ πρότερον πραττόντων, τὸν φόρον

[1] δημεύειν αὐτῶν, τῶν δὲ νικησάντων

Ὥστε] Sic Stephanus de suo dedit. Aldus ὡς simplex. IDEM.

Δημεύειν] Aut ante aut post δημεύειν deest ὑμᾶς. ego tamen δημεύεσθαι malim. IDEM. δημεύεσθαι, m. a. TAYLOR.

Τῶν δὲ νικησάντων] Lege aut τὸν δὲ νικήσαντα, aut τοὺς δὲ νικήσαντας. REISK. τοὺς δὲ νικήσαντας, m. a. TAYLOR.

Ἐμποδὼν ἁπάντων ὄντων] Harpocration ait: Ἐμποδών. Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως· τοὺς ἐμποδὼν ἐκολάσατε, ἀντὶ τοῦ ἐμπεσόντας, καθὰ καὶ Ἀνδοκίδης ἐν τῷ κατ' Ἀλκιβιάδου, quæ glossa quin huc pertineat dubitari nequit. SLUITER.

Βιότητος] Π. βιαιότητος. H. STEPHAN.

Τὸν φόρον — τὸν ὑπ' Ἀριστείδου] Vid. Meurs. de Fort. Athen. c. 7.

Δικαιότατα] F. δικαιοτάτου. TAYLOR.

Ἐπὶ τούτῳ] Malim ἐπὶ τοῦτο. REISK.

Εἰ τῆς —] Explicat voc. τούτων, quo usus modo fuerat. *quam hoc pacto.* idem est ac si dixisset: ἢ εἰ ταῦτα κατασκευάσειεν, δηλονότι εἰ τῆς σ. IDEM.

Οὔσης ὁμολογουμένως, νῦν] Sic interpunctum est in Aldina et Stephanica. Ego vero malim sic interpungi: οὔσης, ὁμολογουμένως νῦν — *cum in confesso sit, pejore nunc esse loco res sociorum.* IDEM.

ἑκάστῳ διπλασιάσειεν. ὥστ᾽ εἴπερ [1] ἡγεῖσθε πολίτην ἀγα-
θὸν Ἀριστείδην καὶ δίκαιον γεγονέναι, τοῦτον προσήκει κά-
κιστον νομίζειν, ὡς τἀναντία περὶ τῶν πόλεων ἐκείνῳ γινώ-
117 σκοντα. τοιγάρτοι διὰ ταῦτα πολλοὶ τὴν πατρίδα τὴν
αὑτῶν ἀπολιπόντες φυγάδες γίνονται καὶ εἰς Θουρίους οἰκή-
σοντες ἀπέρχονται. δηλώσει δὲ ἡ τῶν συμμάχων ἔχθρα
πρῶτον, ὅταν ἡμῖν καὶ Λακεδαιμονίοις γένηται ναυτικὸς
πόλεμος. ἐγὼ δὲ νομίζω τὸν τοιοῦτον πονηρὸν εἶναι προ-
στάτην, ὅστις τοῦ παρόντος χρόνου ἐπιμελεῖται, ἀλλὰ μὴ
καὶ τοῦ μέλλοντος προνοεῖται, καὶ τὰ ἥδιστα τῷ πλήθει,
παραλιπὼν τὰ βέλτιστα, συμβουλεύει.

ϛ´. Θαυμάζω δὲ τῶν πεπεισμένων Ἀλκιβιάδην δημοκρατίας ἐπιθυμεῖν, τοιαύτης πολιτείας [2] ἣ μάλιστα κοινότητα δοκεῖ εὑρῆσθαι, [3] οἱ οὐδ᾽ ἀπὸ τῶν ἰδίων αὐτὸν θεῶνται, ὁρῶν-

[1] ἡγῆσθε [2] ἦν [3] οἵαν οὐδ᾽ ἐστὶ τ. ἰ. αὐτὸν ἔχειν θεῶνται

Διπλασιάσειεν] Sic dedi de meo. vulgo legitur διπλάσειεν. IDEM. διπλασιάσειεν, m. a. TAYLOR.

Ἡγῆσθε] Malim ἡγεῖσθε. REISK.

Ὥστ᾽ εἴπερ ἡγεῖσθε — ὡς τἀναντία περὶ τῶν πόλεων ἐκείνῳ γινώσκοντα] Oratorem credo, si ita scripsisset, ipsum fuisse sensurum, argumento se uti sophistico et exigui momenti. Neque enim, si Alcibiadis de sociarum civitatium tributo sententia ab Aristidis ratione abhorreret, continuo Alcibiades malus civis erat dicendus. Probabilius autem mihi videtur, librarium sociarum civitatium mentione in errorem inductum numerum mutasse et scripsisse τῶν πόλεων, quum in antiquo exemplari scriptum exstaret τῆς πόλεως. Ita quidem si statuamus, multo major erit argumenti vis. *Si bonus civis fuit Aristides, malus habendus erit Alcibiades, quippe qui de republica contraria sentiat.* Tributum illud ab Aristide sociis civitatibus imperatum, quod

Τὸν ἔρανον τὸν λεγόμενον παππῷον ἐκ τῶν Μηδικῶν

vocat Aristophanes Lysistrata v. 654. auctoribus Thucydide l. i. c. 96. Plutarcho in Aristide p. 333. D. Nepote in Aristide c. 3. et Suida v. Ἑλληνοταμίαι, fuit in universum Quadringentorum sexaginta talentorum. Conf. Interpretes Thucydidis et Nepotis d. l. Wesselingius ad Diodorum Siculum l. xii. c. 26. p. 440. a. Duplex illud tributum deinde ac postea etiam triplex esse factum Plutarchi d. l. auctoritate confirmatur. SLUITER.

Δηλώσει δὲ ἡ τῶν συμμάχων ἔχθρα] Adscripserat Valckenaerius: "An δηλώσεται futurum medium pro passivo δηλωθήσεται." IDEM.

Ἔχθρα] Subaudi ἑαυτήν. Malim verba sic ordinari: ἔχθρα, ὅταν πρῶτον ἡμῖν. REISK.

Ἣν μάλιστα κοινότητα] Videtur leg. esse: ἣ μάλιστα διὰ κοινότητα. quæ reipublicæ forma existimatur ideo præcipue reperta et in vitam inducta esse, quod in ea regnet κοινότης, civilitas, propensio animi juribus utendi cum reliquis civibus communibus, et nulla in re præcipuum aliquod jus affectandi. IDEM.

Πολιτείας, ἣν μάλιστα κοινότητα δοκεῖ εὑρῆσθαι] Duplex mihi de hoc loco nata est conjectura, ut vel legendum arbitrarer: ἣν μάλιστα διὰ κοινότητα δοκεῖτε ᾑρῆσθαι: vel ἣ μάλιστα κοινότητα δοκεῖ αἱρεῖσθαι, *quæ maxime æqualitatem sectari videtur*, et hoc quoque in mentem venerat Valckenaerio. Κοινότητι mox opponitur πλεονεξία καὶ ὑπερηφανία: est autem ea virtus, quam Cicero de Amicitia c. 5. *æqualitatem* dicit: quæque recte explicatur ab Ernesto in Clave Cic. perperam a Manutio ad i. l. cum *æquabilitate vitæ* permutatur. Eandem notionem ad exemplum Græcorum in lingua Latina acceperunt verba *communis* et *communitas*. Vid. Grævium ad Cic. ad Div. iv. 9. de Senect. c. 17. Ἡρέθησαν, quod item *de Pace* p. 24. v. 12. ed. Steph. abierat in εὑρέθησαν, restituit H. Stephanus. SLUITER.

τες τὴν πλεονεξίαν καὶ τὴν ὑπερηφανίαν· ὃς τὴν Καλλίου γήμας ἀδελφὴν ἐπὶ δέκα ταλάντοις, τελευτήσαντος Ἱππονίκου στρατηγοῦντος ἐπὶ Δηλίῳ ἕτερα τοσαῦτα προσεπράξατο, λέγων ὡς ὡμολόγησεν ἐκεῖνος, ὁπότε παῖς αὐτῷ ἐκ τῆς θυγατρὸς γένοιτο, προσθήσειν ταῦτα. λαβὼν δὲ τοσαύτην προῖκα ὅσην οὐδεὶς τῶν Ἑλλήνων, οὕτως ὑβριστὴς ἦν, ἐπεισάγων εἰς τὴν αὐτὴν οἰκίαν ἑταίρας, καὶ δούλας καὶ 118
ἐλευθέρας, ὥστ' ἠνάγκασε τὴν γυναῖκα σωφρονεστάτην οὖσαν ἀπολιπεῖν, ἐλθοῦσαν πρὸς τὸν ἄρχοντα κατὰ τὸν νόμον. οὗ δὴ μάλιστα τὴν αὑτοῦ δύναμιν [1]ἐπεδείξατο· παρακαλέσας γὰρ τοὺς ἑταίρους, ἁρπάσας ἐκ τῆς ἀγορᾶς τὴν γυναῖκα ᾤχετο βίᾳ, καὶ πᾶσιν ἐδήλωσε καὶ τῶν ἀρχόντων καὶ τῶν νόμων καὶ τῶν ἄλλων πολιτῶν καταφρονῶν.

31. οὐ τοίνυν ταῦτα μόνον ἐξήρκεσεν, ἀλλὰ καὶ λαθραῖον θάνατον ἐπεβούλευσε Καλλίᾳ, ἵνα τὸν οἶκον τὸν Ἱππονίκου [2]κατάσχοι, ὡς ἐναντίον πάντων ὑμῶν ἐν τῇ ἐκκλησίᾳ κατηγόρει· καὶ τὰ χρήματα τῷ δήμῳ ἔδωκεν, εἴ πως τελευτήσειεν ἄπαις, φοβούμενος μὴ διὰ τὴν οὐσίαν ἀπόλοιτο. καίτοι ὅστις ὑβρίζει γυναῖκα τὴν ἑαυτοῦ καὶ τῷ κηδεστῇ θάνατον ἐπιβουλεύει, τί χρὴ προσδοκᾶν τοῦτον περὶ τοὺς ἐντυχόντας τῶν πολιτῶν διαπράττεσθαι; πάντες γὰρ ἄνθρωποι τοὺς οἰκείους τῶν

[1] ὑπεδείξατο [2] κατάσχῃ

Τελευτήσαντος Ἱππονίκου στρατηγοῦντος ἐπὶ Δηλίῳ] Valckenaerius notat paullo ante ducem fuisse Hipponicum, auctore Thucydide l. iii. c. 91. Ἐπὶ Δηλίῳ autem duces fuisse Hippocratem et Demosthenem, quorum ille cum mille Atheniensibus periit. "Absurde (inquit) Meursius Att. Lect. l. iii. c. 23. p. 150. corrigit Ἱπποκράτους, bis apud Andocidem, etiam in iis, ἵνα τὸν οἶκον τοῦ Ἱππονίκου κατάσχῃ. An igitur pater Calliæ fuit Hippocrates? Dicitur ibidem Alcibiades γήμας Hipponici filiam ἐπὶ δέκα ταλάντοις, atque illo mortuo totidem accepisse; tum λαβὼν τοσαύτην προῖκα, ὅσην οὐδεὶς τῶν Ἑλλήνων. Hoc miror decem talenta considerari tanquam dotem, quantam nullus Græcorum acceperit. Certe Græcorum omnium Hipponicus ille et erat et ferebatur ditissimus. Decem talentorum dos et alibi memoratur: Terentius Andria a. v. Sc. iv. v. 48. 'Dos, Pamphile, est decem talenta:' Plautus p. 362. [Cistellaria a. ii. Sc. iii. v. 19.] 'Unde tibi talenta magna viginti pater det dotis.' Pag. 747. 'Quoi decem talenta dotis detuli.' [Conf. Truculent. a. iv. Sc. iii. v. 71.]. Qui ferebantur ditissimi, centum talentis æstimabantur. Vid. Lysiam p. 351. v. 12. ed. Steph. Egregia Perizonius ad Ælianum p. 670. A. [V. H. l. x. c. 17.]. Cæterum, ubi rem narrat Plutarchus t. i. p. 195. B. C. dicitur primum in dotem accepisse Alcibiades decem talenta, tum iterum decem cum pareret Hipparete." Conf. Isocratem de Bigis p. 535. A. Idem.

Ταῦτα] Malim τοσαῦτα. Reisk.

Εἰς τὴν αὐτὴν οἰκίαν] Scil. ἐν ᾗ συνῴκει αὐτῷ γυνὴ οὕτω πλουσία. Idem.

Ὑπεδείξατο] Malim ἐπεδείξατο. Idem.

Καλλίᾳ] Uxoris suæ fratri, filio Hipponici. Idem.

Κατηγόρει] *Incusabat*, Callias puta, Alcibiadem veneno se appetisse. sic in imperfecto dedi ex H. Stephani conjectura, pro κατηγορεῖ vulgato, in præsenti. Idem.

ἀλλοτρίων ποιοῦνται περὶ πλείονος. ἀλλὰ μὴν οὐδ' ἔρημος
119 οὐδ' εὐαδίκητός ἐστιν, ἐπεὶ διὰ τὸν πλοῦτον ἔχει πολλοὺς
τοὺς βοηθήσοντας.

ζ'. Ὃ δὲ πάντων δεινότατόν ἐστι, τοιοῦτος ὢν ὡς εὔνους τῷ
δήμῳ τοὺς λόγους ποιεῖται αὐτὸς ἄλλους ὀλιγαρχικοὺς καὶ
μισοδήμους ἀποκαλεῖ· καὶ ὃν δεῖ τεθνάναι διὰ τὰ ἐπιτηδεύ-
ματα, κατήγορος τῶν διαβεβλημένων ὑφ' ἡμῶν αἱρεῖται,
καί φησι φύλαξ εἶναι τῆς πολιτείας, οὐδενὶ τῶν ἄλλων
Ἀθηναίων οὔτ' ἴσον οὔτ' ὀλίγῳ πλέον ἀξιῶν ἔχειν· ἀλλ'
οὕτω σφόδρα καταπεφρόνηκεν ὥστε διατετέλεκεν ἀθρόους
μὲν ὑμᾶς κολακεύων, ἕνα δ' ἕκαστον προπηλακίζων. ὃς εἰς
τοσοῦτον ἐλήλυθε τόλμης, ὥστε πείσας Ἀγάθαρχον τὸν
γραφέα συνεισελθεῖν οἴκαδε τὴν οἰκίαν [1] ἐπηνάγκασε γρά-
120 φειν· δεομένου δὲ καὶ προφάσεις ἀληθεῖς λέγοντος, ὡς οὐκ
ἂν δύναιτο ταῦτα πράττειν ἤδη διὰ τὸ συγγραφὰς ἔχειν
παρ' ἑτέρων, προεῖπεν αὐτῷ δήσειν, εἰ μὴ πάνυ ταχέως
γράφοι. ὅπερ ἐποίησε· καὶ οὐ πρότερον ἀπηλλάγη, πρὶν
ἀποδρὰς ᾤχετο τετάρτῳ μηνί, τοὺς φύλακας λαθών, ὥσπερ
[2] παρὰ βασιλέως. οὕτω δ' ἀναίσχυντός ἐστιν, ὥστε προσ-
ελθὼν ἐνεκάλει αὐτῷ ὡς ἀδικούμενος, καὶ οὐχ ὧν ἐβιάσατο
μετέμελεν αὐτῷ, ἀλλ' ὅτι κατέλιπε τὸ ἔργον ἠπείλει, καὶ
οὔτε τῆς δημοκρατίας οὔτε τῆς ἐλευθερίας οὐδὲν ἦν ὄφελος·
οὐδὲν γὰρ ἧττον ἐδεδοίκει τῶν ὁμολογουμένων δούλων. ἀγα-

[1] ἀπηνάγκασε

[2] Deest παρά.

Οὐδ' ἔρημος] Eo tendit, ut demonstret Alcibiadem popularem nequaquam esse. nam qui sodalitiis magnis stipatus est, is potentiam in republica affectat, minimeque civilis est. Idem.

Ποιεῖται· αὐτὸς] Interponi velim καί. αὐτὸς h. l. est *ultro, nemine impellente*. Idem.

Ἀποκαλεῖ] Probabiliter Luzacius legendum existimat ἀποκαλῶν. Sluiter.

Καταπεφρόνηκεν] Bene si habet, commutata est dicendi forma. recta enim constructio postulabat καταπεφρονηκώς. Reisk.

Συνεισελθεῖν οἴκαδε τὴν οἰκίαν ἀπηνάγκασε γράφειν] H. οἴκαδε, ἐπηνάγκασε γράφειν. Οὕτω καὶ ὀλίγῳ ὕστερον, ἐπαναγκάζων γράφειν. H. Stephan. Posterius probo. verum vocabula illa duo τὴν οἰκίαν nego expungi debere. Sententia hæc est: Alcibiades pictorem blandis verbis primum perduxit in domum suam. deinde, in potestate sua eum cum haberet, tormentis coegit, ut domum suam pingeret. h. e. parietes œcorum picturis exornaret. non erat satis γράφειν modo dicere, sed necesse erat, ut τὴν οἰκίαν quoque adderetur. nam alias dubium fuisset, quid ille pictor coactus fuisset pingere. Reisk.

Ταῦτα πράττειν] Id est, γράφειν τὴν Ἀλκιβιάδου οἰκίαν. Idem.

Ἤδη] Si suo loco stat, accipi debet pro *nunc, in præsenti*. verum videtur a sede sua aberrasse, et collocandum esse pone διὰ τό. Idem.

Συγγραφὰς] Malim simplex γραφάς. *propterea quod jam picturas haberet*. h. e. propterea quod jam aliis operam suam locasset ad colorandum vel inalbandum ipsorum domos et insulas. Idem.

Ἐδεδοίκει] Agatharchus pictor puta. Idem.

Τῶν ὁμολογουμένων δούλων] Potest sic accipi: τῶν δούλων, περὶ ὧν ὁμολογεῖται ὅτι

νακτῶ δ' ἐνθυμούμενος ὑμῖν μὲν οὐδὲ τοὺς κακούργους ἀσφα-
λὲς εἰς τὸ δεσμωτήριον [1] ὂν ἀπάγειν, διὰ τὸ χιλίας δραχμὰς
τετάχθαι ἀποτῖσαι ὃς ἂν τὸ πέμπτον μέρος μὴ μεταλάβῃ
τῶν ψήφων· ὁ δὲ τοσοῦτον χρόνον εἵρξας [2] καὶ ἐπαναγκάζων 121
γράφειν οὐδὲν κακὸν πέπονθεν, ἀλλὰ διὰ ταῦτα σεμνότερος
δοκεῖ καὶ φοβερώτερος εἶναι. καὶ πρὸς μὲν τὰς ἄλλας πόλεις
ἐν τοῖς [3] συμβόλοις συντιθέμεθα μὴ ἐξεῖναι μήθ' εἶρξαι μήτε
δῆσαι τὸν ἐλεύθερον· ἐὰν δέ τις παραβῇ, μεγάλην ζημίαν
ἐπὶ τούτοις ἔθεμεν· τούτου δὲ τοιαῦτα πράξαντος, οὐδεμίαν
οὐδεὶς οὔτ' ἰδίαν οὔτε δημοσίαν τιμωρίαν ποιεῖται. νομίζω
δὲ ταύτην εἶναι σωτηρίαν ἅπασι, πείθεσθαι τοῖς ἄρχουσι
καὶ τοῖς νόμοις· ὅστις δὲ ὑπερορᾷ ταῦτα, τὴν μεγίστην φυ-
λακὴν ἀνῄρηκε τῆς πόλεως. δεινὸν μὲν οὖν ἐστι καὶ ὑπὸ τῶν
ἀγνοούντων τὰ δίκαια πάσχειν κακῶς· πολὺ δὲ χαλεπώ-
τερον, ὅταν τις ἐπιστάμενος τὰ διαφέροντα παραβαίνειν
τολμᾷ· φανερῶς γὰρ ἐνδείκνυται, ὥσπερ οὗτος, οὐκ αὐτὸς τοῖς
νόμοις [4] τοῖς τῆς πόλεως ἀλλ' ὑμᾶς τοῖς αὑτοῦ τρόποις ἀκο-
λουθεῖν ἀξιῶν.

η'. Ἐνθυμήθητε δὲ Ταυρέαν, ὃς ἀντιχορηγὸς ἦν [5] Ἀλκι-
βιάδῃ παισί. κελεύοντος δὲ τοῦ νόμου τῶν χορευτῶν ἐξά-

[1] Deest ὄν. [2] [καὶ] [3] συμβούλοις
[4] Deest τοῖς. [5] Ἀλκιβιάδου

εἰσὶ δοῦλοι. malim tamen ὁμολογουμένως in adverbio. Idem.

Ἐνθυμούμενος, ὑμῖν] Interponendum videtur εἰ. Idem. ἐνθυμούμενος ὡς ὑμῖν, m. a. Taylor.

Συμβούλοις]. Π. συμβολαίοις. H. Stephan. Probo Stephani conjecturam συμβολαίοις. verum quia dubius eram, utrum dedisset auctor, συμβολαίοις, an συμβόλοις (nam et σύμβολα pro συμβόλαια usurpantur) ideo vetustam lectionem, quamvis vitiosam, reliqui. Sunt autem τὰ σύμβολα, sive mavis τὰ συμβόλαια, pacta conventa inter duas civitates de dando reddendoque jure, et de communicatione commerciorum, tametsi eas inter civitates nulla est bellorum societas. Reisk. συμβόλοις, m. a. Taylor.

Κελεύοντος δὲ τοῦ νόμου τῶν χορευτῶν ἐξάγειν ὃν ἂν τις βούληται ξένον ἀγωνιζόμενον, οὐκ ἐξὸν ἐπιχειρήσαντα κωλύειν] "Attigit hunc locum (Valckenaerii verba describo) Petitus (p. 353.) leges habens huc spectantes, e quibus constat, actores peregrinos licuisse quidem ludis peractis, vel ante ludos, deferre apud Archontem, sed inter agendum non licuisse interturbare, ne Festi conturbaretur celebritas. Forte sic Lex fuerit olim concepta: Τῶν χορευτῶν ἐξάγειν ὃν ἂν τις βούληται ξένον· ἀγωνιζόμενον δ' οὐκ ἐξὸν ἐπιχειρῆσαι κωλύειν. Ad hanc reliquæ Leges apud Petitum apte respondebunt. Additur ὃν ἄν τις βούληται ξένον, quia licebat ἐξάγειν, 1º. ante delatum apud Archontem; 2º. ignominia notatos et infames, — τοὺς ἀτίμους ἐξάγειν ἐκ τῆς θυμέλης· Lex apud Petitum p. 468. Ulpianus (ad Midianam p. 533. ult. ed. Reisk.) ἐξῆν τὸν ξένον ἐξάγειν, delatum apud Archontem. Itaque prorsus contra Leges egit Alcibiades: nunquam enim licebat βιαίως ἀποσπᾶν ἀπὸ τοῦ χοροῦ, sed ἐξάγειν, sive κωλύειν. quod proprium in hac re verbum. Xenophon in Hellenicis p. 349. v. 16. τὸν χορὸν (ἔνδον ὄντα) οὐκ ἐξήγαγον. Pœna in eos, qui alios ἐξεῖργον, est apud Demosthenem p. 572. 12. Iisdem Legibus utitur Demosthenes *contra Midiam* tota, qui se choragum verberarat. Licebat ἄτιμον ἐξάγειν, non tamen fecere ob

γειν ὃν ἂν τις βούληται ξένον ἀγωνιζόμενον, οὐκ ἐξὸν ἐπι-

122 χειρήσαντα κωλύειν, ἐναντίον ὑμῶν καὶ τῶν ἄλλων Ἑλλήνων τῶν θεωρούντων καὶ τῶν ἀρχόντων ἁπάντων παρόντων ἐν τῇ πόλει τύπτων ἐξήλασεν αὐτὸν, καὶ τῶν θεατῶν συμφιλονεικούντων ἐκείνῳ καὶ μισούντων τοῦτον, ὥστε τῶν χορῶν τὸν μὲν ἐπαινούντων, τοῦ δ᾽ ἀκροάσασθαι οὐκ ἐθελόντων, οὐδὲν πλεῖον ἔπραξεν· ἀλλὰ τῶν κριτῶν οἱ μὲν φοβούμενοι, οἱ δὲ χαριζόμενοι, νικᾷν ἔκριναν αὐτὸν, περὶ ἐλάττονος ποιούμενοι τὸν ὅρκον ἢ τοῦτον. εἰκότως δέ μοι δοκοῦσιν οἱ κριταὶ ὑπέρχεσθαι Ἀλκιβιάδην, ὁρῶντες Ταυρέαν τοσαῦτα μὲν χρήματα ἀναλώσαντα προπηλακιζόμενον,

123 τὸν δὲ τοιαῦτα παρανομοῦντα μέγιστον δυνάμενον. αἴτιοι 32. 1 δ᾽ ὑμεῖς, οὐ τιμωρούμενοι τοὺς ὑβρίζοντας, καὶ τοὺς μὲν λάθρα ἀδικοῦντας κολάζοντες, τοὺς δὲ φανερῶς ἀσελγαίνοντας θαυμάζοντες. τοιγάρτοι τῶν νέων αἱ διατριβαὶ οὐκ ἐν τοῖς γυμνασίοις ἀλλ᾽ ἐν τοῖς δικαστηρίοις εἰσὶ, καὶ στρατεύονται μὲν οἱ πρεσβύτεροι, δημηγοροῦσι δὲ οἱ νεώτεροι, παραδείγματι τούτῳ χρώμενοι, ὃς τηλικαύτας ποιεῖται τῶν ἁμαρτημάτων ὑπερβολὰς, ὥστε περὶ τῶν Μηλίων γνώμην ἀποφηνάμενος ἐξανδραποδίζεσθαι, πριάμενος γυναῖκα τῶν αἰχμαλώτων υἱὸν ἐξ αὐτῆς πεποίηται, ὃς τοσούτῳ παρανομωτέρως Αἰγίσθου γέγονεν, ὥστ᾽ ἐκ τῶν ἐχθί-

loci reverentiam:" Demosthenes p. 533. ult. Egregia Tib. Hemsterhusius Petitum corrigens ad Arist. Plutum p. 344. a." Sluiter.

Ἀγωνιζόμενον, οὐκ ἐξὸν ἐπιχειρήσαντα κωλύειν] Sic distinctum exhibent hunc locum Aldus et Stephanus. mihi vero sic videtur potius esse distinguendus: ἀγωνιζόμενον οὐκ ἐξὸν, ἐπιχειρήσαντα κωλύειν. ut hæc sit constructio: κελεύοντος τοῦ νόμου κωλύειν τῶν χορευτῶν τῶν ξένων τὸν ἐπιχειρήσαντα ἀγωνίζεσθαι, οὐκ ἐξὸν (id est, διότι οὐκ ἔξεστιν) αὐτὸν ἤδη ἀγωνιζόμενον ἐξάγειν. *lege volenti cuique veniam dante, peregrinorum saltatorum si quem videat id agentem, ut saltationis certamen ineat, impediendi, quoniam non licet eum e scena educere qui jam actu saltet.* Reisk.

Ἐξήλασεν αὐτὸν] Alcibiades puta Tauream. ad quem Tauream etiam ἐκείνῳ proximum refertur, ut τοῦτον ad Alcibiadem. Idem.

Οὐδὲν πλεῖον ἔπραξεν] *Nil profecit*, Taureas puta. quanquam equidem ἔπραξαν in plurali malim, ut ad choros referatur. Idem.

Αὐτὸν] Alcibiadem puta. Idem.

Παρανομωτέρως] Sic dedi de meo, pro vulgato παρανομώτερος. *majori cum scelerositate.* Comparat hic sortem nascendi, qua Ægisthus fuit usus, cum sorte nascendi qua usus est filius Alcibiadi natus e muliere Melia; aitque hujus nascendi sortem multo fuisse scelerosiorem, quam fuisset sors Ægisthi. Quanquam enim Ægisthus quoque natus fuisset ex incestu infando (Thyestes enim, pater Ægisthi, eum e filia Pelopeia susceperat). verum tamen filia patrem amaverat. Melia autem mulier oderat Alcibiadem, a quo per vim compressa peperit hunc filium, ab oratore nostro non nominatum, modo legibus magis adversante, et naturæ magis repugnante, ut ipse quidem autumat, quam natus fuerat Ægisthus. Idem.

στων ἀλλήλοις πέφυκε, καὶ τῶν οἰκειοτάτων ὑπάρχει αὐτῷ τὰ ἔσχατα τοὺς μὲν πεποιηκέναι, τοὺς δὲ πεπονθέναι. ἄξιον δὲ τὴν τόλμαν αὐτοῦ σαφέστερον ἔτι διελθεῖν. ἐκ 124 ταύτης γὰρ παιδοποιεῖται τῆς γυναικὸς, ἣν ἀντ' ἐλευθέρας δούλην κατέστησε, καὶ ἧς τὸν πατέρα καὶ τοὺς προσήκοντας ἀπέκτεινε, καὶ ἧς τὴν πόλιν ἀνάστατον πεποίηκεν, ὡς ἂν μάλιστα τὸν υἱὸν ἐχθρὸν ἑαυτῷ καὶ τῇ πόλει ποιήσειε· τοσαύταις ἀνάγκαις κατείληπται μισεῖν. ἀλλ' ὑμεῖς ἐν μὲν ταῖς τραγῳδίαις τοιαῦτα θεωροῦντες δεινὰ νομίζετε, γινόμενα δ' ἐν τῇ πόλει ὁρῶντες οὐδὲν φροντίζετε. καίτοι ἐκεῖνα μὲν οὐκ ἐπίστασθε πότερον οὕτω γεγένηται ἢ πέπλασται ὑπὸ τῶν ποιητῶν· ταῦτα δὲ σαφῶς εἰδότες οὕτω πεπραγμένα παρανόμως ῥᾳθύμως φέρετε.

θ'. Πρὸς δὲ τούτοις τολμῶσί τινες περὶ αὐτοῦ λέγειν ὡς οὐδὲ γεγένηται οὐδεὶς πώποτε τοιοῦτος. ἐγὼ δὲ νομίζω μέγιστα κακὰ τὴν πόλιν ὑπὸ τούτου πείσεσθαι, καὶ τηλικούτων πραγμάτων εἰς τὸν λοιπὸν χρόνον αἴτιον δόξειν, ὥστε μηδένα τῶν προτέρων ἀδικημάτων μεμνῆσθαι· ἀνέλπιστον γὰρ οὐδὲν τὸν τὴν ἀρχὴν τοῦ βίου τοιαύτην κατασκευασάμενον καὶ τὴν τελευτὴν ὑπερβάλλουσαν ποιήσα- 125 σθαι. ἔστι δὲ σωφρόνων ἀνδρῶν φυλάττεσθαι [1] τῶν πολιτῶν τοὺς [2] ὑπεραυξανομένους, ἐνθυμουμένους ὑπὸ τῶν τοιούτων τὰς τυραννίδας καθισταμένας.

ι'. Ἡγοῦμαι δ' αὐτὸν πρὸς τοῦτο μὲν οὐδὲν ἀντερεῖν, λέξειν δὲ περὶ τῆς νίκης τῆς Ὀλυμπιάσι, καὶ περὶ πάντων μᾶλλον ἢ τῶν κατηγορηθέντων ἀπολογήσεσθαι. ἐξ αὐτῶν δὲ τούτων ἀποδείξω αὐτὸν ἐπιτηδειότερον τεθνάναι μᾶλλον ἢ σώζεσθαι. διηγήσομαι δ' ὑμῖν. Διομήδης ἦλθε ζεῦγος

[1] Deest τῶν. [2] ὑπεραυξομένους

Τοὺς μὲν] Patrem, Alcibiadem. Idem.

Τοὺς δὲ] Matrem, mulierem Meliam. Idem.

Κατείληπται] Ille filius Alcibiadis puta, haud nominatus, nothus. Idem.

Μισεῖν] Scil. patremque et rempublicam. Idem.

Τοιοῦτος] Vir tam fortis et præclarus, atque hic Alcibiades exstitisset. Idem.

Αδικημάτων] Malim ἀτυχημάτων. Idem.

Ἀνέλπιστον γὰρ οὐδὲν τὸν τὴν ἀρχὴν τοῦ βίου τοιαύτην κατασκευασάμενον, καὶ τὴν τελευτὴν ὑπερβάλλουσαν ποιήσασθαι] Videtur excidisse particula ἂν, quam, ad h. l. sententiam prorsus necessariam, facile ultimæ literæ verbi ὑπερβάλλουσαν absorbere potuerunt. Sluiter.

Μᾶλλον] Sæpe post comparativos redundat. ut vulgata h. l. facile feratur. malim tamen pro ἐπιτηδειότερον h. l. legi ἐπιτηδειότατον. Reisk.

ἵππων ἀγὼν Ὀλυμπίαζε, κεκτημένος μὲν οὐσίαν μετρίαν, στεφανῶσαι δὲ ἀπὸ τῶν ὑπαρχόντων τὴν πόλιν καὶ τὴν οἰκίαν βουλόμενος, λογιζόμενος τοὺς ἀγῶνας τοὺς ἱππικοὺς τύχῃ τοὺς πλείστους κρινομένους. τοῦτον Ἀλκιβιάδης πολίτην ὄντα καὶ τὸν ἐπιτυχόντα, δυνάμενος παρὰ τοῖς ἀγωνοθέταις τῶν Ἠλείων, ἀφελόμενος αὐτὸς ἠγωνίζετο. καίτοι τί ἂν ἐποίησεν, εἴ τις τῶν συμμάχων τῶν ὑμετέρων
126 ἀφίκετο ζεῦγος ἵππων ἔχων; ἧπου ταχέως ἐπέτρεψεν ἂν ἀνταγωνίζεσθαι ἑαυτῷ, ὃς [1] Ἀθηναίων ἄνδρα βιασάμενος τοῖς ἀλλοτρίοις ἐτόλμησεν ἵπποις ἁμιλλᾶσθαι, δηλώσας τοῖς Ἕλλησι μηδὲν θαυμάζειν ἄν τινα αὐτῶν [2] βιάσηται, ἐπεὶ καὶ τοῖς πολίταις οὐκ ἐξ ἴσου χρῆται, ἀλλὰ τοὺς μὲν ἀφαιρούμενος, τοὺς δὲ τύπτων, τοὺς δὲ [3] εἰργνύων, τοὺς δὲ χρήματα πραττόμενος, οὐδενὸς ἀξίαν τὴν δημοκρατίαν ἀποφαίνων, τοὺς μὲν λόγους δημαγωγοῦ τὰ δ' ἔργα τυράννου παρέχων, καταμαθὼν ὑμᾶς τοῦ μὲν ὀνόματος φροντί-

[1] Ἀθηναῖον [2] βιάζηται [3] εἰργνύων

Λογιζόμενος τοὺς ἀγῶνας τοὺς ἱππικοὺς τύχῃ τοὺς πλείστους κρινομένους] Non facile adducar ut credam hæc scripsisse Andocidem: *equestria certamina non a fortunis certantium gubernari, sed a temeritate sortis fortuitæ disceptari*: quemadmodum locum vertit Reiskius. Hoc Græcus homo dicere non potuit, apud quam gentem tanto in honore erant certamina equestria, ut victores eorum a summis poetis carminibus celebrarentur, suisque civitatibus maximo essent decori. Inter equestria autem vel prima et omnium maxime honorifica habebantur certamina curru peracta. Neque vero cuiquam honorem aut ipsi, aut civitati, conciliare poterat certamen unice positum in fortunæ temeritate; neque etiam in ea posita est certaminum equestrium victoria, sed in equorum virtute, dominorumque fortunis et rei equestris peritia. Quapropter suspicatus sum germanam scripturam hanc esse: *τοὺς ἀγῶνας τοὺς ἱππικοὺς τιμῇ τοὺς πλείστους κρινομένους*: *equestria certamina omnium honorificentissima judicari.* Apud Thucydidem l. vi. c. 16. suam victoriam ipse gloriatur Alcibiades: *ἅρματα μὲν ἑπτὰ καθῆκα, ὅσα οὐδείς πω ἰδιώτης πρότερον, ἐνίκησα δὲ καὶ δεύτερος καὶ τέταρτος ἐγενόμην, καὶ τἆλλα ἀξίως τῆς νίκης παρεσκευασάμην· νόμῳ μὲν γὰρ τιμὴ τὰ τοιαῦτα, ἐκ δὲ τοῦ δρωμένου καὶ δύναμις ἅμα ὑπονοεῖται*: et filii ejus ore Isocrates de Bigis p. 353. B. C. postquam consilium Alcibiadis laudavit, quo civitatem ornare victoria Olympica voluit, his verbis exponit, quare equestre certamen reliquis prætulerit: *οὐδενὸς ἀφυέστερος, οὐδ' ἀῤῥωστότερος τῷ σώματι γενόμενος, τοὺς μὲν γυμνικοὺς ἀγῶνας ὑπερεῖδεν· εἰδὼς ἐνίους τῶν ἀθλητῶν, καὶ κακῶς γεγονότας, καὶ μικρὰς πόλεις οἰκοῦντας, καὶ ταπεινῶς πεπαιδευμένους· ἱπποτροφεῖν δ' ἐπιχειρήσας, ὃ τῶν εὐδαιμονεστάτων ἔργον ἐστὶ, φαῦλος δ' οὐδεὶς ἂν ποιήσειεν, οὐ μόνον τοὺς ἀνταγωνιστὰς, ἀλλὰ καὶ τοὺς πώποτε νικήσαντας ὑπερεβάλετο.* — *Πλείστους* hic dicitur pro *μεγίστους*, de qua verbi notione præclare egit Valckenaerius ad Eurip. Hippolytum v. 1. SLUITER.

Καὶ τὸν ἐπιτυχόντα] Π. *καὶ οὐ τὸν ἐπιτυχ.* H. STEPHAN. Quod probo. REISK.

Ἐπιτυχόντα, δυνάμενος] Scaliger interponi vult vocabulum *ζεῦγος*. quod si addendum sit, ego potius versu 6. ante v. *ἀφελόμενος* addidero, et cum articulo, ad hunc modum — *τῶν Ἠλείων, τὸ ζεῦγος ἀφελόμενος, αὐτὸς ἠγωνίζετο.* IDEM.

Ἀφαιρουμένους] Π. *ἀφαιρούμενος.* H. STEPHAN. *ἀφαιρούμενος* dedi e conjectura Stephani. redit ad Diomedem, cui bigas equorum eripuit, ut *τύπτων* ad Taurcam respicit, et *εἰργνύων* ad Agatharchum pictorem, et *πραττόμενος* ad Calliam. IDEM.

Ἀποφαίνων] Imo vero *ἀποφαίνει* leg. IDEM.

ζοντας τοῦ δὲ πράγματος ἀμελοῦντας. τοσοῦτον δὲ διαφέρει Λακεδαιμονίων, ὥστ' ἐκεῖνοι μὲν καὶ ὑπὸ τῶν συμμάχων ἀνταγωνιζομένων ἀνέχονται ἡττώμενοι, οὗτος δὲ οὐδ' ὑπὸ τῶν πολιτῶν, ἀλλὰ φανερῶς εἴρηκεν οὐκ ἐπιτρέψειν τοῖς ἀντεπιθυμοῦσί τινος. εἶτ' ἐκ τῶν τοιούτων ἀναγκαῖον τὰς πόλεις τῶν ἡμετέρων πολεμίων ἐπιθυμεῖν, ἡμᾶς δὲ μισεῖν. ἵνα δὲ μὴ μόνον Διομήδην, ἀλλὰ καὶ τὴν πόλιν ὅλην ὑβρίζων ἐπιδόξειε, τὰ πομπεῖα παρὰ τῶν ἀρχιθεωρῶν
33. 1 αἰτησάμενος ὡς εἰς [1] τἀπινίκια τῇ προτεραίᾳ τῆς θυσίας 127
χρησόμενος, ἐξηπάτησε καὶ ἀποδοῦναι οὐκ ἤθελε, βουλό-

[1] τὰ πινάκια τῇ προτέρᾳ

Ἐπιδόξειε] Sententia postulat ἐπιδείξαιτο. *quo sese ostentaret, non Diomedi modo, sed universæ adeo civitati insultantem.* Idem.

Εἰς τὰ πινάκια] Videntur mensulæ vel fercula fuisse, in quibus aurea atque argentea supellex construeretur atque spectaculo exponeretur. Scaliger πανάκεια exaravit. quod non intelligo. Idem. Leg. εἰς τἀπινίκια τῇ προτέρᾳ τῆς θυσίας χρησόμενος. Meurs. Panath. [c. 23. et Græc. Fer. l. iii. p. 110. v. Ἐπινίκια.] Palmerius doctissimus h. l. ita legi vellet, quasi dictus de die festi et postridie, qui erat dies nefastus. Hic sensus si exsculpi potuit, optime convenit isto τὴν καθ' ἡμέραν δίαιταν Plutarchi, ubi usus profanus opponi videtur sacro. cæterum de postridie profano audias eundem Plut. in Vita Themistocl. lib. de fortuna Rom. ἔφη γὰρ τὴν ὑστέραν ἐρίσαι πρὸς τὴν ἑορτὴν κ. τ. λ. Taylor.

Θυσίας] Sic dedi ex emendatione Scaligeri et Taylori Lect. Lysiac. c. 6. p. 696. pro vulgato οὐσίας. Reisk.

Τῇ προτέρᾳ τῆς οὐσίας] Fœdum mendum, quod nullum sensum exhibet, et totam sententiæ connexionem solvit et turbat. Tentabam τῇ πρώτῃ καὶ τῇ ἐπιούσῃ, ut sit prima et secunda die Mysteriorum: nam ἡ ἐπιοῦσα est dies, quæ aliam sequitur, unde forte secundus a primo Mysteriorum ἡ ἐπιοῦσα dicebatur. Sic nos Gallice *le lendemain de la feste.* Alcibiades petierat commodato vasa sacra tanquam iis usurus, antequam iis opus foret publico, et urbi in festo Mysteriorum: at ea non reddidit, βουλόμενος τῇ ὑστεραίᾳ πρότερος τῆς πόλεως χρήσασθαι τοῖς χρυσοῖς χερνίβοις. Erant autem quinque dies Mysteriorum, quorum ultimo pompa ducebatur, quæ vocabatur Ἰακχός. Palmer.

Τὰ πομπεῖα παρὰ τῶν ἀρχιθεωρῶν αἰτησάμενος, ὡς εἰς τὰ πινάκια τῇ προτέρᾳ τῆς θυσίας χρησόμενος] Partem veri h. l. Scaliger et Taylorus viderunt οὐσίας mutantes in θυσίας. Superest tamen alia emendatio haud minus vera et elegantior etiam, quam Valckenaerii copia egregie confirmavit. Τὰ πινάκια frustra Reiskius explicare conatus est. Sequentia e Valckenaerianis σποράδην in chartam conjectis, qua potuit cura, congessit et composuit Luzacius. "Primum h. l. pro χερνίβοις καὶ θυμιατηρίοις, lego χερνιβίοις καὶ θυμιατηρίοις, quod jam vidit Taylorus p. 694. A. conf. Philostratum p. 848. B. sæpe Demosthenes contra Androtionem; videtur et φιάλας dicere p. 615. 4. 617. 1. et 20. ed. Reisk. ubi est ἐκπώματα καὶ θυμιατήρια — καὶ χρυσίδες. Hoc porro loco corrupto abusus est Meursius Att. Lect. l. ii. c. 15. ad πομπεῖα illustranda, quæ hinc colligit *moris fuisse asservari per Architheoros.* Perperam: 1°. hæc in Ludis Olympicis et Olympiæ acta sunt, quo ad ornandam pompam allata quoque sunt τὰ πομπεῖα: sed 2°. miror et Architheoros numero plures: unus tantum fuit Ἀρχιθεωρὸς tum temporis Atheniensis Olympiæ." [Luzacius suspicatur ἀρχιθεωροὺς intelligendos esse *universam Legationem* Atticam, id est, Architheorum cum reliquis Theoris, vel τοὺς Ἀρχιθεωροὺς esse omnes civitatum Græcarum Architheoros, unum collegium constituentes, inter quos et Architheorus erat Atheniensis]. "3°. Huc respicit Mœris Atticista: Πομπεῖα Ἀττικῶς τὰ θυμιατήρια καὶ τὰς χέρνιβας, ὡς Θουκυδίδης. Emendandum Ἀνδοκίδης. Frustra quæsitus locus in Thucydide. Pro Θουκυδίδης in Scholiis MS. ad Aristidem p. 68. legitur Θαννυδίδης. Athenæus l. ix. p. 408. D. Ἀττικοὶ χερνίβιον λέγουσιν, ὡς Λυσίας ἐν τῷ κατὰ Ἀλκιβιάδου λέγων οὕτως, τοῖς χρυσοῖς χερνιβίοις καὶ θυμιατηρίοις: Taylor hinc ut Fragmentum posuit Orationis Lysiæ πρὸς Ἀλκιβιάδην. Errat, errorem secutus Atho-

μενος τῇ ὑστεραίᾳ πρότερος τῆς πόλεως χρήσασθαι τοῖς χρυσοῖς χερνίβοις καὶ θυμιατηρίοις. ὅσοι μὲν οὖν τῶν ξένων μὴ ἐγίνωσκον ἡμέτερα ὄντα, τὴν πομπὴν τὴν κοινὴν ὁρῶντες ὑστέραν οὖσαν τῆς Ἀλκιβιάδου τοῖς τούτου πομπείοις χρῆσθαι ἐνόμιζον ἡμᾶς· ὅσοι δὲ ἢ παρὰ τῶν πολιτῶν ἤκουον ἢ καὶ ἐπεγίνωσκον τὰ τούτου, κατεγέλων ἡμῶν, ὁρῶντες ἕνα ἄνδρα [1] μεῖζον ἁπάσης τῆς πόλεως δυνάμενον.

ιά. Σκέψασθε δὲ καὶ τὴν ἄλλην ἀποδημίαν τὴν εἰς Ὀλυμπίαν ὡς διέθετο. τούτῳ σκηνὴν μὲν Περσικὴν

[1] μείζονα πάσης

næi, ut secutus etiam est Eustathius ad Od. A. p. 33. v. 48. verba enim sunt Andocidæ, non Lysiæ. Quæ sint πομπεῖα, præter Meursium docuerunt Valesius ad Harpocrationem p. 158. Spanhemius ad Callimachum p. 721. f. Eustathius ad Il. I. p. 666. v. 9. πομπεῖα παρ' Ἀττικοῖς ἱερὰ σκεύη χρήσιμα ἐν πομπαῖς. Phæax in Oratione κατ' Ἀλκιβιάδου apud Plutarchum t. i. p. 196. E. illis usum ait Alcibiadem, ὥσπερ ἰδίοις πρὸς τὴν καθ' ἡμέραν δίαιταν. Sed 4o. corrigendus est Andocides. Quid hic sunt τὰ πινάκια? Frustra quis ea tueretur ex Satyro apud Athenæum p. 534. E. ubi redux Athenas ex Olympia δύο πίνακας ἀνέθηκεν Ἀγλαοφῶντος γραφὴν, ὧν ὁ μὲν εἶχεν Ὀλυμπιάδα καὶ Πυθιάδα στεφανούσας αὐτόν. In altera Νεμέα (leg. Νεμεὰς) ἦν καθημένη, καὶ ἐπὶ τῶν γονάτων αὐτῆς Ἀλκιβιάδης, formosior mulieribus. Nihil hæ tabulæ pictæ ad τὰ πινάκια: sed legendum est τἀπινίκια. Ὡς εἰς τὰ ἐπινίκια vel τἀπινίκια τῇ προτεραίᾳ τῆς θυσίας χρησόμενος. *Commodato petiit ab Architheoro*, vel a Theoris, *aurea vascula, thuribula*, cæt. *tanquam iis usurus die, qui sacrificium præcederet, ad epulum propter victoriam partam dandum.* Nota locutio ἐπινίκια θύειν, vel ἑστιᾷν, *sacra facere*, vel *epulum præbere propter victoriam partam*, seu *victoriam sacris atque epulis celebrare.* Jam vero totam tum Panegyrin epulo excepisse Alcibiadem, ex Epitome discimus Athenæi p. 3. E. Ἀλκιβιάδης Ὀλύμπια νικήσας ἅρματι πρῶτος καὶ δεύτερος καὶ τέταρτος (εἰς ἃς νίκας καὶ Εὐριπίδης ἔγραψεν ἐπινίκιον) θύσας Ὀλυμπίῳ Διῒ τὴν πανήγυριν ἅπασαν εἱστίασε. Vid. Fabri Agonistica p. 167. Alcibiades apud Thucydidem l. vi. c. 16. initio suum illud vocat τὸ διαπρεπὲς τῆς Ὀλυμπιάζε θεωρίας: quantum conciliaverit civitati decoris p. 388. ἅρματα ἑπτὰ καθῆκα·—ἐνίκησα δὲ καὶ δεύτερος καὶ τέταρτος ἐγενόμην, καὶ τἄλλα ἀξίως τῆς νίκης παρεσκευασάμην. Vide ibi notas, imprimis Plutarchum t. i. p. 196. B. ubi habet partem Epinicii Euripidis in Alcibiadem. Τὰ ἐπινίκια quæ sint, Taylor dixit ad Lysiam p. 273. Demosthenes p. 380, 22. ed. R. οὗτος εἰς τὰ ἐπινίκια τῶν πραγμάτων καὶ τοῦ πολέμου, ἃ Θηβαῖοι καὶ Φίλιππος ἔθυον, εἱστιᾶτο ἐλθών. p. 532. 11. τὴν τῶν ἐπινικίων scilicet ἡμέραν. Vid. ibi Taylorum. Con. Neæram p. 1356. 8. victor Pythiis Delphos redux εἱστία τὰ ἐπινίκια ἐπὶ Κωλιάδι. Vid. et v. 17. Aristophanes Ecclesiaz. v. 1172. δειπνήσομεν ἐπινίκια. Lucianus t. iii. p. 273. v. 93. εὐωχεῖσθαι τὰ ἐπινίκια. apud Polyænum p. 99. v. 3. est ἐπινίκια θύειν: vid. II. Maccab. viii. 33.—Porro τῇ προτεραίᾳ, *pridie*, ut τῇ ὑστεραίᾳ, *postridie*. Lysias p. 339. v. 7. ed. Steph. τῇ προτεραίᾳ ᾗ ἀνήγετο: Plato apud Taylorum Lect. Lys. p. 677. b. τῇ ὑστεραίᾳ ἢ ᾗ τὰ ἐπινίκια ἔθυεν." His autem scriptis postea annotarat vir summus, et illam emendationem, et alteram θυσίας jam factam a Meursio in Panathen. p. 38. et posteriorem a Cantero in Syntagm. p. 26. et sic etiam emendavit Valckenaerii discipulus et amicus Piersonus ad Mœridem p. 332. b. SLUITER.

Πρότερος] Antequam architheori vasis iisdem uterentur; quo fieret, ut, qui vasa eadem viderent ab architheoris post Alcibiadem usurpari, existimarent ea Alcibiadis esse, et architheoros ea ab illo mutuo sumsisse. quod contra erat. Post lego: ἢ καὶ αὐτοὶ ἐπεγίν. REISK.

Ὁρῶντες ἕνα ἄνδρα μείζονα πάσης τῆς πόλεως δυνάμενον] Verba male divisa nemo dubitet quin ita restituenda sint: ἕνα ἄνδρα μεῖζον ἁπάσης τῆς πόλεως δυνάμενον. SLUITER.

Διέθετο τούτῳ. σκηνὴν] Sic dedit Stephanus, tacite vitium Aldinæ corrigens, quæ sic dedit. διέθετο τοῦτο. σκηνὴν.—Probo τούτῳ suffectum pro τοῦτο. verum haud placet interpunctio, quam sic malim constitui. διέθετο. quomodo se reliquis in

128 Ἐφέσιοι διπλασίαν τῆς δημοσίας ἔπηξαν, ἱερεῖα δὲ καὶ τοῖς ἵπποις ἐφόδια Χῖοι παρεσκεύασαν, οἶνον δὲ καὶ τὰ ἄλλα ἀναλώματα Λεσβίοις [1] προσέταξε. καὶ οὕτως εὐτυχής ἐστιν ὥστε τοὺς Ἕλληνας τῆς παρανομίας καὶ τῆς δωροδοκίας μάρτυρας κεκτημένος οὐδεμίαν δέδωκε δίκην· ἀλλὰ ὁπόσοι μὲν ἄρχοντες ἐν μιᾷ πόλει γεγένηνται, ὑπεύθυνοί εἰσιν, ὁ δὲ πάντων τῶν συμμάχων καὶ χρήματα λαμβάνων οὐδενὸς τούτων ὑπόδικός ἐστιν, ἀλλὰ τοιαῦτα διαπεπραγμένος σίτησιν ἐν Πρυτανείῳ ἔλαβε, καὶ προσέτι πολλῇ τῇ νίκῃ χρῆται, ὥσπερ οὐ πολὺ μᾶλλον ἠτιμακὼς ἢ ἐστεφανωκὼς τὴν πόλιν. εἰ δὲ βούλεσθε σκοπεῖν, εὑρήσετε πολλὰ τῶν τούτῳ πεπραγμένων, ἕκαστον ὀλίγον χρόνον πράξαντάς τινας ἀναστάτους τοὺς οἴκους ποιήσαν-

[1] προσέταξαν

rebus, apud Olympiam agens, gesserit. τούτῳ σκηνήν. *huic* (Alcibiadi) *tentorium* —. Reisk.

Λεσβίοις προσέταξαν] Suspicabar aliquando leg. esse: Λέσβιοι ἑαυτοῖς προσέταξαν. verum videtur potius aut Ἐφέσιοι e præmissis, aut οἱ Ἕλληνες subaudiendum esse. Idem.

Λεσβίοις προσέταξαν] Una tantum litera mutata, si legamus προσέταξεν, ulcus, quod h. l. inhæret, erit sanatum. Mox etiam eodem numero pergit: καὶ οὕτως εὐτυχής ἐστιν. — Vitium ortum est e præcedentibus παρεσκεύασαν — ἔπηξαν. Ita etiam Valckenaerius: "Λεσβίοις προσέταξεν· *jussit Lesbios afferre*, sive προσέταξεν ut φόρον sibi debitum, qui etiam τὸν φόρον dicitur civitatibus ἐξ ἀρχῆς τάξαι, ab Andocide p. 30. v. 21. ed. Steph. De iisdem Plutarchus in Alcib. p. 196. C. τοῦτο τὸ λαμπρὸν (ipsius pompæ et victoriæ) ἐπιφανέστερον ἐποίησεν ἡ τῶν πολεμίων (leg. πόλεων, *sociarum civitatum*) φιλοτιμία κ. τ. λ. Quatuor socias civitates memorat Satyrus apud Athenæum l. xii. p. 554. D. τέσσαρσι τῶν συμμαχίδων κ. τ. λ. Hi τροφὴν, quæ Andocides vocat τοῖς ἵπποις ἐφόδια." Sluiter.

Συμμάχων καὶ χρήματα] Sine dubio post καὶ deest aliquid. num ἀστῶν. *ab omnibus sociisque civibusque opes*, vel *pecunias, accipiens*, vel *extorquens*. Reisk.

Πάντων τῶν συμμάχων καὶ χρήματα λαμβάνων, οὐδενὸς τούτων ὑπόδικός ἐστιν κ. τ. λ.] Deesse aliquid manifestum est: Reiskius suspicatur post καὶ excidisse ἀστῶν. — Mihi aliter videtur: nam, si vera esset Reiskiana ratio, melius mox Orator scripsisset οὐδενὶ τούτων ὑπόδικός ἐστιν. Est enim hic usus verbi ὑπόδικος, ut rei genitivum, dativum personæ secum habeat: Isocrates c. Lochitem p. 395. C. ἔπειτα τῶν μὲν ἄλλων ἐγκλημάτων αὐτῷ μόνῳ τῷ παθόντι κακῶς ὁ δράσας ὑπόδικός ἐστιν: Demosthenes c. Midiam p. 518. 3. ed. Reisk. ἐὰν δέ τις τούτων τι παραβαίνῃ ὑπόδικος ἔστω τῷ παθόντι: c. Conon. p. 1264. 19. καὶ μὴν εἰ παθεῖν τί μοι συνέβη, φόνου καὶ τῶν δεινοτάτων ἂν εἴη ὑπόδικος. Equidem existimo ad sententiæ integritatem non multum desideratum iri, si scribatur: ὁ δὲ πάντων τῶν συμμάχων ἐπάρχων καὶ χρήματα λαμβάνων κ. τ. λ. Tum quia præcedens ἄρχοντες ἐν μιᾷ πόλει hic item imperii mentionem postulare videtur, tum vero quod hoc etiam recte convenit sequentibus: οὐδενὸς τούτων ὑπόδικός ἐστιν. — Ἐπάρχειν æque ac simplex ἄρχειν, quod hic auribus ingratius accideret, notat *imperare*: Xenophon Cyropæd. l. i. c. 1. §. 4. ἄλλου οὐδενὸς ἔθνους ἐπάρξαι. — Ἐπῆρξε δὲ καὶ Ἑλλήνων τῶν ἐν τῇ Ἀσίᾳ: l. iv. c. 6. §. 2. χώρας ἐπάρχω πολλῆς. Sluiter.

Εὑρήσετε —] Variis modis locum hunc tentavi, quorum unum hunc juvat proponere: εὑρήσετε πολλὰ τῶν τούτῳ πεπραγμένων, ὧν ἕκαστον ὄψεσθε ὀλίγον χρόνον πράξαντάς τινας ἀναστάτους τοὺς οἴκους ποιήσαντας. *diligenter examinare si volueritis, invenietis in Alcibiadis captis et institutis multa ejusmodi, ut eorum vel unum quodcunque cum alii conati essent idem facere vel ad breve solummodo tempus, fortunas illi suas omnes funditus pessumdederint.* Reisk.

τας. οὗτος δ' ἐπιτηδεύων ἅπαντα πολυτελέστατα διπλα-
129 σίαν οὐσίαν κέκτηται. καίτοι ὑμεῖς γε νομίζετε τοὺς φειδομένους καὶ τοὺς ἀκριβῶς διαιτωμένους φιλοχρημάτους εἶναι, οὐκ ὀρθῶς γινώσκοντες. οἱ γὰρ μεγάλα δαπανώμενοι, πολλῶν δεόμενοι, αἰσχροκερδέστατοί εἰσιν. αἴσχιστον δὲ φανήσεσθε ποιοῦντες, εἰ τοῦτον μὲν ἀγαπᾶτε τὸν ἀπὸ τῶν ὑμετέρων χρημάτων ταῦτα κατεργασάμενον, Καλλίαν δὲ τὸν Διδυμίου, τῷ σώματι νικήσαντα πάντας ἀγῶνας τοὺς στεφανηφόρους, ἐξωστρακίσατε, πρὸς [1] τοῦτο οὐδὲν ἀποβλέψαντες, ὡς ἀπὸ τῶν ἑαυτοῦ πόνων ἐτίμησε τὴν πόλιν. ἀναμνήσθητε δὲ καὶ τοὺς προγόνους, ὡς ἀγαθοὶ καὶ σώφρονες ἦσαν, οἵτινες ἐξωστράκισαν Κίμωνα διὰ παρανομίαν, ὅτι τῇ ἀδελφῇ τῇ ἑαυτοῦ συνῴκησε. καίτοι οὐ μόνον αὐτὸς Ὀλυμπιονίκης ἦν, ἀλλὰ καὶ ὁ πατὴρ αὐτοῦ Μιλτιάδης· ἀλλ' ὅμως οὐδὲν ὑπελογίζοντο τὰς νίκας. οὐ γὰρ ἐκ τῶν ἀγώνων, ἀλλ' ἐκ τῶν ἐπιτηδευμάτων, ἔκρινον αὐτόν.

ιβ'. Ἀλλὰ μὴν εἰ δεῖ κατὰ γένος σκοπεῖν, ἐμοὶ μὲν
130 οὐδαμόθεν προσήκει τούτου τοῦ πράγματος, οὐδὲ ἔστιν οὐδεὶς ὅστις ἂν ἀποδείξειε τῶν ἡμετέρων οὐδένα τῇ συμφορᾷ ταύτῃ χρησάμενον, [2] Ἀλκιβιάδῃ δὲ μάλιστα πάντων Ἀθη-

[1] τοῦτον   [2] Ἀλκιβιάδης

Διπλασίαν] Subaudi, quam a patre accepisset. Idem.

Τοῦτον] Π. τοῦτο. H. Stephan. Ego malim τούτων. *ad horum nihil respicientes*, quod scilicet laboribus corpore suo toleratis patriam ornasset. quid significare voluisset orator illo τούτων, statim ipse docet subjiciens, ὡς ἀπὸ τῶν ἑαυτοῦ πόνων—. Reisk.

Ἐτίμησεν] Sic tacite correxit Stephanus Aldinæ ἐτίμησαν. quod posset probari, si ἑαυτῶν legeretur. posset enim ex eo colligi, Calliam ejusque patrem Didymium pariter stadio Olympiaco vicisse. Verum simplicior et planior est emendandi ratio Stephanica. Idem.

Τῇ ἑαυτοῦ] Muret. Var. Lect. 7. 1. Taylor. Vid. Jan. Rutgers. Var. Lect. l. i. c. 9. Qui primum sororem ὁμοπάτριον ducere Athenis licuisse affirmat. Deinde ob id crimen, ut nugantur, ostracismo non potuit ejici; cum ostracismus non fuerit pœna scelerum, sed tantum invidiosæ virtutis velut imminutio. Cujus autem criminis damnatus est, ne id quidem apud auctores constat, non magis quam de ipsa pœna.

Κατὰ γένος σκοπεῖν] Π. καὶ τὸ γένος σκ. H. Stephan. Ego vero in vulgata h. l. acquiesco. In σκοπεῖν subauditur τὸ τῆς ἐξοστρακίσεως πρᾶγμα. *negotium hoc* (uter nostrum scilicet ostracismo mulctandus sit) *judicare si oportet ex genere*, — aut, *in hac causa definienda si necesse est rationem generis haberi*. Reisk.

Τούτου τοῦ πράγματος] Scil. τῆς ἐξοστρακίσεως. nemo est in majoribus atque cognatis meis, qui ostracismo e civitate fuisset expulsus. exponit ipse orator sententiam suam verbis in continente subjectis. Idem.

Ἀλκιβιάδης] Malim Ἀλκιβιάδῃ. redit enim ad præmissum προσήκει. Idem.

Ἀλκιβιάδης δὲ μάλιστα πάντων Ἀθηναίων] Valckenaerii emendationem Ἀλκιβιάδῃ δὲ —jam Cap. I. memoravimus, et ipse eam jam proposuerat in Diatribe Euripidea p. 124. Sluiter.

ναίων. καὶ γὰρ ὁ τῆς μητρὸς πατὴρ Μεγακλῆς καὶ ὁ πάππος Ἀλκιβιάδης ἐξωστρακίσθησαν ἀμφότεροι, ὥστ' οὐδὲν θαυμαστὸν οὐδ' ἄτοπον πείσεται τῶν αὐτῶν τοῖς προγόνοις ἀξιούμενος. καὶ μὴν οὐδ' ἂν αὐτὸς ἐπιχειρήσειεν ἀντειπεῖν ὡς οὐ τῶν ἄλλων ἐκεῖνοι παρανομώτατοι ὄντες τούτου σωφρονέστεροι καὶ δικαιότεροι ἦσαν· ἐπεὶ τῶν γε τούτῳ πεπραγμένων οὐδ' ἂν εἷς ἀξίως κατηγορῆσαι δύναιτο.

ιγ'. Νομίζω δὲ καὶ τὸν θέντα τὸν νόμον ταύτην τὴν διάνοιαν ἔχειν· ἀποβλέψαντα τῶν πολιτῶν πρὸς τοὺς κρείττους τῶν ἀρχόντων καὶ τῶν νόμων, ἐπειδὴ παρὰ τῶν τοιούτων οὐκ ἔστιν ἰδίᾳ δίκην λαβεῖν, δημοσίαν τιμωρίαν ὑπὲρ
τῶν ἀδικουμένων κατασκευάσαι. ἐγὼ τοίνυν ἔν τε τῷ κοινῷ 131
